omni ambiguitate vacuas demonstrationes adhibens, sic alicubi
loquitur. *Et sermo meus et prædicatio mea non in persuasibilibus* 1 Cor. 2, 4.
humanæ sapientiæ verbis, sed in ostensione spiritus et virtutis. Quibus
hæc subjicit, *Sapientiam autem loquimur inter perfectos; sapientiam
vero non hujus sæculi, neque principum hujus sæculi qui destruuntur:
sed loquimur Dei sapientiam in mysterio, quæ abscondita est.* Ac
rursum: *Sufficientia nostra*, inquit, *ex Deo est, qui et idoneos nos fecit* 2 Cor. 3, 5.
6 *ministros novi Testamenti.* Enimvero jure nobis inter omnes præcep-
tum hoc est, *Ut quicunque demum illius spei, quæ religione nostra* 1 Pet. 3, 15.
continetur, rationem ex nobis requirat, ad suscipiendam ejus defensionem parati continuo et expediti simus. Quamobrem explorare
cuivis ac discutere licet, cum innumerabiles, ut ante dicebam, quas

ἀποδείξεις ὑπέρ τε τοῦ καθ' ἡμᾶς γραφείσας λόγου δια-
γνῶναι πάρεστιν, ὑπομνήματά τε οὐκ ὀλίγα εἰς τὰς ἱερὰς
καὶ ἐνθέους γραφὰς πεπονημένα, τὸ ἀψευδὲς καὶ ἀδιά-
πτωτον τῶν ἀρχῆθεν καταγγειλάντων ἡμῖν τὸν τῆς θεο-
σεβείας λόγον γραμμικαῖς ἀποδείξεσιν παριστῶντα. d
7 Πλὴν ἀλλὰ περιττοὶ λόγοι πάντες, ὧν ἐναργῆ καὶ σα-
φέστερα τὰ ἔργα, ἅπερ ἡ θεία καὶ οὐράνιος τοῦ σωτῆ-
ρος ἡμῶν δύναμις, πάντας ἀνθρώπους τὴν ἔνθεον καὶ
οὐράνιον ζωὴν εὐαγγελιζομένη, διαρρήδην εἰσέτι καὶ νῦν
8 ἐπιδείκνυται. Αὐτίκα γοῦν τὴν διδασκαλίαν αὐτοῦ κη-
ρυχθήσεσθαι καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης εἰς
μαρτύριον πᾶσι τοῖς ἔθνεσι θεσπίσαντος, τήν τε ὕστε-
ρόν ποτε τῇ αὐτοῦ δυνάμει συστᾶσαν ἐξ ἁπάντων τῶν
ἐθνῶν ἐκκλησίαν, οὔπω τότε καθ' οὓς ἐνηνθρωπήκει
χρόνους ὁρωμένην οὐδὲ συνεστῶσαν, ἐνθέῳ προγνώσει

c 5. ὑπὲρ τοῦ] ὑπέρ τε τοῦ A.H. 7. τε οὐκ] γε οὐκ G. 9. τε καὶ] τε om. A.C.G.H. 10. καταγγειλάντων] καταγγελλόντων A. d 1. γραμμικαῖς] γραμματικαῖς C.E.G. 2. οἱ λόγοι] οἱ om. A.C.D.E.G.H. 6. εὐαγγελιζομένη] εὐηγγελισαμένη C.G. Tum διαρρήδην om. H. 7. γοῦν] δεῖν A.H. 10. ποτε] ποθεν C.G. Tum τῇ αὐτοῦ δυνάμει συστᾶσαν A.H. συστᾶσαν al. ante τῇ αὐτοῦ. 12. ἐνηνθρωπήκει] ἐνηνθρώπει H. 13. συνεστῶσάν πω] πω om. A.H. Mox ἀκατάπληκτον pro ἀκαταμάχητον A. Tum γνώσει D.

recentiores plerique acutissimas et evidentissimas ad doctrinæ nostræ
confirmationem argumentorum probationes edidere; tum etiam com-
mentarios non paucos, quibus sacras ac divinitus conceptas literas
illustrando, veritatem illorum et nusquam vacillantem orationis con-
stantiam, qui hunc nobis ab initio religionis divinæ ritum prædica-
runt, sic tanquam adhibitis mathematicorum demonstrationibus, in
7 omnium oculis ac luce posuerunt. Sedenim supervacaneum, opinor,
fuerit, verborum fidem quærere, ubi res ipsas iisdem longe clariores
et illustriores intueri liceat, quas cœlestis ac divina Servatoris nostri
vis ac potestas, universis hominibus divinam ac cœlestem vitam feli-
8 citer annuntians, palam etiamnum et evidenter ostendit. Nam cum
ipse non tantum fore prædixerit, ut (quod suæ apud omnes populos
monimentum voluntatis extaret) tradita ab eo doctrina, ubi ubi
degeret hominum genus, longe lateque prædicaretur: verum etiam
divina præsensione, illam ipsam quæ aliquanto post ejusdem numine
ex omnium gentium societate conflata est, quæque nec dum eo

Vera Christi prædictæ.

ἀήττητον καὶ ἀκατάπληκτον ἔσεσθαι, καὶ μηδεπώποτε ὑπὸ θανάτου νικηθήσεσθαι, ἑστάναι δὲ καὶ μένειν ἄσει-
στον, ὡς ἂν ἐπ' ἀσείστῳ καὶ ἀρραγεῖ πέτρᾳ τῇ αὐτοῦ p. 8
δυνάμει βεβηκυῖάν τε καὶ ἐρριζωμένην, ἀποφηναμένου, ὑπὲρ πάντα λόγον τὸ τῆς προρρήσεως ἀποτέλεσμα εἰκότως πᾶν ἄθυρον ἀποφράξοι ἂν στόμα τῶν ἀναισχυντεῖν
9 ἀναιδῶς παρεσκευασμένων. Τίς γὰρ οὐκ ἀλήθειαν ὁμολογήσαι ἂν τῇ προρρήσει, τῶν πραγμάτων ἐναργῶς οὕτως μονονουχὶ φωνὴν ἀφιέντων, ὅτι δὴ Θεοῦ δύναμις, ἀλλ' οὐκ ἀνθρωπεία φύσις ἦν, ἡ ταῦτα τοῦτον ἐσόμενα τὸν τρόπον πρὸ τοῦ γενέσθαι θεασαμένη, προφήσασά
[7]
10 τε, καὶ ἔργοις ἐπιτελέσασα; Πεπλήρωκε γοῦν τὴν σύμ-
πασαν, ὅσην ὁ ἥλιος ἐφορᾷ, ἡ τοῦ κατ' αὐτὸν εὐαγγε- b
λίου φήμη, καὶ πάντα τὰ ἔθνη διέδραμεν, εἰσέτι τε νῦν αὔξει καὶ ἐπιδίδωσι τὰ περὶ αὐτοῦ κηρύγματα ταῖς

d ult. ἀρραγεῖ] ἀραγεῖ C.
p. 8. 2. ἀποφηναμενου] ἀποφηνάμενον C. 4. ἄθυρον] ἄκρον C.G. Tum ἀποφράξειαν A.H. pro ἀποφράξοι ἄν. 6. ἀλήθειαν ὁμολογήσαι ἂν] ἀληθῆ ἀνομολογήσειεν A. ἀληθῆ ὁμολογήσειεν H. 10. θεασαμένη] τεθεωμένη C.G. τεθεαμένη D. 11. προφήσασά τε καὶ] προφήτας καὶ C.G. 12. γὰρ] γοῦν A.C.E.G.H. Mox ὁ om. C. et ni fallor G. b 2. δὲ τὰ] δὲ om. A. διέδραμε, καὶ εἰσέτι νῦν] διέδραμεν εἰσέτι τε νῦν A.C.G. καὶ om. D.H. 3. τὸ—κήρυγμα] τὰ—κηρύγματα A.H.

tempore, quo vitam inter homines homo ipse degebat, coaluisse videbatur, Ecclesiam, nullis unquam viribus expugnandam, ac ne ab ipsa quidem morte superandam: at penitus inconcussum illius robur mansurum esse prænuntiarit, ut pote, quæ vi ejus ac potestate, sic tanquam immoto ac nullis omnino machinis perrumpendo scopulo, altis defixa radicibus niteretur: hujus sane prædictionis veritas exitu comprobata, hiantem ac procacem hominum istorum buccam omni oratione justius, obstruxerit, qui vulgo nihil non intempe-
9 ranter et impudenter effutiunt. Quis enim verax illud Christi oraculum esse non fateatur, cum res ipsæ tantum non magna palam et aperta voce pronuntient, non humanæ id naturæ, sed numini divino tribuendum, quod res illas priusquam fierent, eo futuras modo prospiciens ita prædixerit, ut easdem operis ipsius fine compleret?
10 Etenim jam universum, qui Solis quidem radiis illustretur, orbem terrarum illius Evangelii fama pervasit, jam omnes undiquaque populos nationesque percurrit, ipsiusque prædicatio, via plane cum ejusdem verbis cohærente, longius in dies etiamnum latiusque pro-

11 αὐτοῦ φωναῖς ἀκολούθως. Ἥ τε ὀνομαστὶ προθεσπι-
σθεῖσα ἐκκλησία αὐτοῦ ἕστηκε κατὰ κράτος ἐρριζωμένη,
καὶ μέχρις οὐρανίων ἁψίδων εὐχαῖς ὁσίων καὶ θεοφιλῶν
ψυχῶν μετεωριζομένη, δοξαζομένη τε ὁσημέραι, καὶ εἰς
ἅπαντας τὸ νοερὸν καὶ ἔνθεον φῶς τῆς ὑπ' αὐτοῦ
καταγγελθείσης εὐσεβείας ἀπαστράπτουσα, οὐδαμῶς
τε τοῖς ἐχθροῖς ἡττωμένη καὶ ὑπείκουσα, ἀλλ' οὐδὲ
ταῖς τοῦ θανάτου πύλαις ὑποχωροῦσα· διὰ μίαν ἐκεί-
νην, ἣν αὐτὸς ἀπεφήνατο λέξιν, εἰπὼν, Ἐπὶ τὴν πέτραν
οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατι-
12 σχύσουσιν αὐτῆς. Καὶ ἄλλα δὲ μυρία πρὸς τοῦ σωτῆ-
ρος ἡμῶν λεχθέντα τε καὶ προρρηθέντα ἐν οἰκείᾳ
συναγαγόντες ὑποθέσει, ταῖς ἐνθέοις αὐτοῦ προγνώ-
σεσι τὰς τῶν πραγμάτων ἀποβάσεις συμφώνους πα-
ραστήσαντες, ἀναμφίλεκτον τῶν περὶ αὐτοῦ δοξα-
13 ζομένων ἡμῖν τὴν ἀλήθειαν ἐπιδείκνυμεν. Πρὸς τού-

b 5. ὀνομαστὶ] ὀνόματι H. 6. ἕστηκε κατὰ βάθους] ἕστηκεν κατακράτος A. ἕστηκεν ἐκκλησία ἐρριζωμένη κατὰ κράτος H. 7. ὁσίων καὶ θεοφιλῶν ἀνδρῶν] θείων (θεῶν A.) καὶ φιλοθέων ψυχῶν A.H. θεοφιλῶν ψυχῶν C. qui καὶ inserit ante δοξαζομένη cum G. c. ὑποείκουσα] ὑπήκουσα C. ὑπείκουσα Steph. G. 5. κατισχύσουσιν] κατισχύουσιν A. Mox αὐτὴν D. 8. ταῖς τε] τε om. A.H. Mox ἐκθέοις E. 9. ἀποβάσεις] ἀποφάσεις D.

11 cedit. Præterea quam nominatim ipse divinitus prænuntiavit Ec-
clesia, jam profundis nixa radicibus, hominumque sanctorum ac
Deo dilectorum precibus votisque sublata, ad cœlestium usque orbium
fornicem caput attollit, ac novis quotidie dignitatis incrementis
aucta, spiritali ac divino prædicatæ ab illo pietatis fulgore passim ita
coruscat, ut non suis tantum hostibus, sed ne ipsis quidem mortis
foribus vel tantillum debilitata concedat. Quæ quidem omnia huic
Matth. 16, 18. uni ab eo quondam prolatæ voci accepta ferenda sunt, *Super hanc
petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt
12 adversus eam.* Cæterum infinita sunt id genus alia, a Servatore
nostro prænunciata, quibus in proprium ac singulare argumentum
locumque congestis, dum congruentes et consentaneos divinis
ejus præsensionibus rerum ipsarum exitus ante oculos ponimus,
eorum quæ nobis de ipso persuademus, certiorem omni dubita-
13 tione veritatem esse demonstramus. Neque vero levis et contem-

τοις δὲ πᾶσιν οὐ μικρὰ τυγχάνει τῆς καθ᾽ ἡμᾶς ἀλη- d
θείας ἀπόδειξις καὶ ἡ ἀπὸ τῶν Ἑβραϊκῶν γραφῶν μαρ-
τυρία, ἐν αἷς πρὸ μυρίων ὅσων ἐτῶν οἱ παρ᾽ Ἑβραίοις
προφῆται τὴν τῶν ἀγαθῶν ἐπαγγελίαν παντὶ τῷ θνητῷ
βίῳ κηρύξαντες ὀνομαστὶ τῆς τε τοῦ Χριστοῦ προση-
γορίας ἐμνήσθησαν, καὶ τὴν εἰς ἀνθρώπους αὐτοῦ παρου-
σίαν προυθέσπισαν, τόν τε νέον τῆς εἰς πάντα τὰ ἔθνη
διαδραμούσης διδασκαλίας αὐτοῦ τρόπον κατήγγειλαν,
προειπόντες τὴν ἐσομένην εἰς αὐτὸν ἀπιστίαν, καὶ ἀντι-
λογίαν τοῦ Ἰουδαίων ἔθνους, τά τε κατ᾽ αὐτοῦ δρασθέντα
αὐτοῖς, καὶ τὰ ἐπὶ τούτοις αὐτίκα καὶ οὐκ εἰς μακρὰν
μετελθόντα αὐτοῖς σκυθρωπά· λέγω δὲ τῆς βασιλικῆς p. 9
μητροπόλεος αὐτῶν τὴν ἐσχάτην πολιορκίαν, καὶ τῆς
βασιλείας τὴν παντελῆ καθαίρεσιν, αὐτῶν τε τὴν εἰς
πάντα τὰ ἔθνη διασποράν, καὶ τὴν ὑπὸ τοῖς ἐχθροῖς καὶ
πολεμίοις δουλείαν, ἃ καὶ ταῖς προρρήσεσιν ἀκολούθως

d. πᾶσιν] πάλιν H. 3. αἷς] οἷς C.G. 5. ἐπαγγελίαν] ἀγγελίαν C.D. 6. τοῦ Χριστοῦ] τοῦ om. A. 11. προειπόντες—αὐτῷν] προσειπόντες—εἰς αὐτὸν A. προσειπ. H. ult. μακρὰν] μακρὸν D.

p. 9. 1. αὐτοῖς] αὐτοὺς D.G. 2. τὴν ἐσχάτην] τὴν om. D. 3. παντελῆ] παντελῶς C. et nescio an G. 5. ὑπό τε ἐχθροῖς] ἐπὶ τοῖς ἐχθ. A.H. ὑπὸ τοῖς ἐχ. C.D.E.G. 6. δουλείαν] δουλίαν D.

nenda est, si ad superiores adjungatur, eidem veritati asserendæ fides, quam ex Hebraicarum literarum testimonio arcessimus, cum iis ante tot annos præsentium bonorum promissionem Hebræi prophetæ generi mortalium universo prædicarint, ipsiusque adeo Christi nominis ita meminerint, ut futurum simul ad homines ejusdem adventum prædixerint. Adde quod novum etiam et insolens ejus, quæ per omnes populos funderetur doctrinæ genus indicarunt, futuram quodque Judaicæ nationis incredulitatem et obfirmatam in repugnando contumaciam prædicentes nec non quicquid adversus eum impie molita est, ac quæcunque illam propterea non dilatæ longius, sed quasi e vestigio secutæ calamitates oppressere: supremam intelligo regiæ ipsorum metropolis obsidionem, ipsamque adeo regni funditus excisi eversionem, cum eorum per omnes gentes dispersione, quamque sub inimicorum et hostium dominatu patiuntur servitute conjunctam. Quæ certe prædictionibus illis consentanea, post ejusdem nostri servatoris adventum, in omnium oculis per-

Christianæ religioni Hebraicas etiam literas suffragari.

μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν φαίνονται πε-
14 πονθότες. Ἐπὶ τούτοις τίς οὐκ ἂν ἐκπλαγείη τῶν αὐ-
τῶν ἀκούων προφητῶν, μετὰ τὴν τοῦ Χριστοῦ παρου-
σίαν καὶ τὴν Ἰουδαίων ἀπόπτωσιν, τὴν τῶν ἐθνῶν
κλῆσιν λαμπραῖς καὶ διαυγέσι φωναῖς εὐαγγελιζομέ- b
νων; Ἡ καὶ αὐτὴ ἄντικρυς εἰς ἔργον ἐχώρησε ταῖς προ-
φητείαις ἀκολούθως διὰ τῆς τοῦ σωτῆρος ἡμῶν διδα-
15 σκαλίας. Δι' οὗ ἐκ παντὸς γένους ἀνθρώπων μυρίοι
ὅσοι τὴν τῶν εἰδώλων ἀποστραφέντες πλάνην τοῦ ἐπὶ
πάντων Θεοῦ τὴν ἀληθῆ γνῶσίν τε καὶ εὐσέβειαν κατε-
δέξαντο, μονονουχὶ πιστούμενοι τοὺς παλαιῶν χρη-
σμοὺς, τούς τε ἄλλους, καὶ δὴ καὶ τὸν διὰ τοῦ Ἱερε-
μίου τοῦ προφήτου φήσαντα, Κύριε ὁ Θεός μου, πρός c
σε ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν, ὡς
ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἦν ἐν
αὐτοῖς ὠφέλεια. Εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεοὺς, καὶ
οὗτοι οὐκ εἰσὶν θεοί;

a 9. αὐτῶν] αὐτοῦ H. 10. Χριστοῦ] τοῦ Χρ. A.D. τὴν τῶν] καὶ τῶν C.D.G. καὶ τὴν A.H. b. εὐαγγελιζομένην] εὐαγγελιζομένων A.H. Tum ἄντικρυς om. H. 8. πιστούμενοι] πιστούμενος A.H. Mox τοὺς om. D. τῶν παλαιῶν] τῆς πόλεως A.H. τοὺς παλ. C.G. 9. καὶ δὴ τὸν διὰ τοῦ Ἰ. φήσαντος] καὶ δὴ καὶ τὸν διὰ τοῦ προφ. Ἰερ. φήσαντα A.H. φήσαντα item C.E.G. c 3. ποιήσειεν αὐτῷ] ποιήσει ἑαυτῷ A.H. 5. οὐκ εἰσὶν οὗτοι] οὗτοι οὐκ εἰσὶν A. αὐτοὶ οὐκ εἰσὶν H.

14 tulere. Jam vero, quis non illustres illas atque perspicuas eorundem prophetarum voces, quibus futuram, Christo jam ex rebus humanis subducto, cum Judæorum prolapsionem ac repudiationem, tum gentium vocationem feliciter prænuntiarunt, admiratione defixus obstupescat, cum hæc similiter servatoris nostri doctrinæ beneficio, palam exitum nacta fuerit cum illorum prophetiis omnino congruen-
15 tem? Per ipsum enim effectum est, ut innumerabilis ex omni hominum genere multitudo rejectis idolorum erroribus, veram præpotentis rerum omnium moderatoris Dei notitiam religionemque susciperet, cumque cæterorum quæ prisci homines fuderunt oraculorum, tum hujus in primis Hieremiæ prophetiæ fidem quodammodo facere videretur: *Domine Deus meus, ad te gentes venient ab extremo terræ, et dicent, quod falsa patres nostri idola possederunt, nec erat in ipsis utilitas. Si faciet sibi homo deos, et ipsi non sunt dii?*

Hierem. 16, 19.

4 Πάντα δὴ ταῦτα τὸν περὶ τῶν καθ' ἡμᾶς πραγμάτων d
πιστοῦται λόγον, ὡς οὐκ ἐξ ἀνθρωπίνης ὁρμῆς ἐπιτη-
δευθέντα, θεόθεν δὲ προγνωσθέντα, καὶ θεόθεν διὰ τῶν
ἐγγράφων χρησμῶν προαναφωνηθέντα, καὶ πολὺ πλέον
ἔτι θεόθεν διὰ τοῦ σωτῆρος ἡμῶν πᾶσιν ἀνθρώποις προ-
βεβλημένον, αὖθίς τε ἐκ Θεοῦ δυναμούμενον καὶ συνε-
στῶτα, ὡς ἐν τοσούτοις ἐτῶν χρόνοις ἐλαυνόμενον πρός τε
τῶν ἀοράτων δαιμόνων καὶ πρὸς τῶν κατὰ χρόνους ὁρα-
τῶν ἀρχόντων πολὺ πλέον διαλάμπειν, ὁσημέραι τε
διαπρέπειν καὶ αὔξειν, καὶ πολὺ μᾶλλον πληθύειν· ἄντι-
[8] κρυς τῆς ἄνωθεν ἐκ τοῦ τῶν ὅλων Θεοῦ συνεργίας τὸ
ἄμαχον καὶ ἀήττητον τό τε κατὰ τῶν ἐχθρῶν νικητικὸν
τῇ τοῦ σωτῆρος ἡμῶν διδασκαλίᾳ τε καὶ προσηγορίᾳ p. 10
2 παρεχούσης. Καὶ τὸ αὐτόθεν δὲ πρὸς εὐζωίαν πᾶσιν
ἀνθρώποις, οὐ μόνον ἐκ τῶν προφανῶν αὐτοῦ λόγων,
ἀλλὰ καὶ ἐξ ἀπορρήτου δυνάμεως προβεβλημένον, πῶς
οὐκ ἂν γένοιτο τῆς ἐνθέου δυνάμεως αὐτοῦ παραστατικόν;

d. πάντα δὴ] πάντα δὴ οὖν G. 11. ὁρατῶν] ἀοράτων A. 12. τι] τε A.C.G. Vigeri marg. Tum διατρέπειν A.
p. 10. τῇ—διδασκαλίᾳ τε καὶ προσηγορίᾳ] τῆς—προσηγορίας τε καὶ διδασκαλίας A.H. 4. προβεβλημένον—δυνάμεως om. A.C.H.

4 Hæc igitur illa sunt, quibus instituti nostri ratio ita confirmatur, ut quivis intelligat eam non humano quodam impetu excogitatam, sed prævisam divinitus, scriptisque oraculis divinitus prænunciatam, longeque adeo magis universis hominibus a servatore nostro divinitus oblatam fuisse. Præterea numine plane divino robur ejus ac firmitatem constitisse, cum vexata tot annos, partimque dæmonum qui videri non possunt, partim eorum qui pro varietate temporum diversi imperabant, oculisque cernebantur principum acerbitate jactata, majoribus in dies ornamentis et illustriori splendore conjunctis, hominumque frequentiori multitudine augeatur. Ut plane dubitare nemo possit, quin Deus ille rerum moderator omnium, Servatoris nostri doctrinæ ac nomini vim quandam omni conatu et oppugnatione superiorem, cunctorumque victricem hostium
2 cœlesti auxilio largiatur. Jam vero illud ipsum, quod omnibus per sese hominibus ad bene beateque vivendum, partim clarissimis ipsius verbis, partim vi occultiore proponebatur, cujus non oculis divinam ejus potestatem virtutemque subjiciat? Etenim divinæ

Θείας μὲν γὰρ καὶ ἀπορρήτου δυνάμεως ἦν, τὸ ἅμα τῷ
αὐτοῦ λόγῳ, καὶ σὺν τῇ περὶ μοναρχίας ἑνὸς τοῦ ἐπὶ πάν-
των Θεοῦ προβεβλημένῃ διδασκαλίᾳ αὐτοῦ, ὁμοῦ καὶ τῆς
πολυπλανοῦς καὶ δαιμονικῆς ἐνεργείας, ὁμοῦ καὶ τῆς τῶν
ἐθνῶν πολυαρχίας ἐλεύθερον καταστῆναι τὸ τῶν ἀν- b
3 θρώπων γένος. Μυρίων γοῦν τὸ παλαιὸν καθ' ἕκα-
στον ἔθνος βασιλέων καὶ τοπαρχῶν ἐπικρατούντων,
καὶ κατὰ πόλεις τῶν μὲν δημοκρατουμένων, τῶν δὲ
τυραννουμένων, τῶν δὲ πολυαρχουμένων, πολέμων τε
κατὰ τὸ εἰκὸς ἐκ τούτου παντοίων συνεστώτων, ἐθνῶν
ἔθνεσι προσρηγνυμένων, καὶ συνεχῶς τοῖς πλησιοχώροις
ἐπανισταμένων, δηούντων τε καὶ δηουμένων, καὶ ταῖς
κατ' ἀλλήλων πολιορκίαις ἐπιστρατευομένων, ὥστε διὰ
ταῦτα πανδημεὶ πάντας τούς τε τὰς πόλεις οἰκοῦντας,
καὶ τοὺς ἐν ἀγροῖς γεωπονοῦντας, ἐξ ἔτι παίδων τὰ πο- c

a 7. ἦν τὸ] ἦν τε A. 11. ἐθνῶν] αἰώνων A.H. τῆς ἐθνῶν C.G.
b. καταστῆναι] καταστῆσαι C.G. Mox τῶν om. A. qui exhibet in marg.
περὶ τοῦ ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη. 2. $\overset{\text{τὸ}}{\text{των}}$ πυλαιῶν D.
4. κατὰ πόλεις καὶ χώρας καὶ τῶν] καὶ καταπόλεις τῶν μὲν A.H. μετὰ πόλεις
C. 5. τῶν δὲ τυραννουμένων om. A.H. 7. τούτου] τούτων A.H.
ἐκ τούτου om. C.G. 10. ταῖς κατ'] καὶ ταῖς κατ' A.C.D.E.G.H.
11. πανδημεὶ] πανδημὶ D.E. 12. καὶ ἐν] καὶ τοὺς ἐν A.C.E.G.H.
Tum γεωπονοῦντας A.H. pro γεηπ. ἐναργεῖς D. pro ἐν ἀγροῖς.

profecto arcanæque potestatis id fuit, ut simulatque verbum illius, deque summi unius tantum Dei, qui rebus præesset omnibus, principatu, doctrina proponeretur, continuo genus hominum in integram libertatem cum a fraudulenta dæmonum efficacitate, tum a multiplici
3 gentium dominatu vindicaretur. Præsertim, cum sexcenti olim reges singulis in nationibus, in urbibus autem ac regionibus imperium infiniti reguli obtinerent; aliique populi, tyrannorum alii, alii denique plurium dominatu premerentur: cumque inde omnis generis bella, ut par erat, existerent, commissis inter sese gentibus, vicinosque populos infestis semper armis petentibus, mutuasque vicissim clades stragesque subeuntibus, quod mutuis alios alii obsidionibus incursionibusque vexarent. Ex quo proinde fiebat, ut non ii modo qui civitates incolebant, sed etiam ii qui in agrorum ac terræ cultura

λεμικὰ διδάσκεσθαι, ξιφηφορεῖν τε διαπαντὸς κατά τε
4 τὰς λεωφόρους, καὶ κατὰ κώμας καὶ ἀγρούς. Ἐπειδὴ
παρῆν ὁ Χριστὸς τοῦ Θεοῦ, περὶ οὗ πάλαι διὰ τῶν προ-
φητῶν ἀνείρητο, *Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη,*
καὶ πλῆθος εἰρήνης. *Καὶ συγκόψουσιν τὰς μαχαίρας αὐτῶν*
εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ
λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι
πολεμεῖν. Ἀκόλουθα ταῖς προρρήσεσιν ἐπηκολούθει d
τὰ ἔργα. Πᾶσα μὲν αὐτίκα περιῃρεῖτο πολυαρχία Ῥω-
μαίων, Αὐγούστου κατὰ τὸ αὐτὸ τῇ τοῦ σωτῆρος ἡμῶν
ἐπιφανείᾳ μοναρχήσαντος. Ἐξ ἐκείνου δὲ καὶ εἰς δεῦρο
οὐκ ἂν ἴδοις, ὡς τὸ πρὶν, πόλεις πόλεσι πολεμούσας,
οὐδ' ἔθνος ἔθνει διαμαχόμενον, οὐδέ γε τὸν βίον ἐν τῇ
5 παλαιᾷ συγχύσει κατατριβόμενον. Καί τοι πῶς οὐκ
ἄξιον θαυμάζειν ἐπιστήσαντα, τί δή ποτε τὸ μὲν πα-
λαιὸν, ὅτε τῶν ἐθνῶν ἁπάντων κατετυράννουν οἱ δαίμο-
νες καὶ πολλή τις ἦν τῶν ἀνθρώπων ἡ περὶ αὐτοὺς
θεραπεία, πρὸς αὐτῶν τῶν θεῶν ἐξοιστρούμενοι ἐπὶ τοὺς

c 3. τε τὰς] γε τὰς G. 4. Χριστὸς] Χριστὸς τοῦ θεοῦ A.H. 8. ἄροτρα] ἄροτρον C.G. d 7. πάσῃ] τῇ παλαίᾳ A.C.E.G.H. 9. ἐπιστήσαντας] ἐπιστήσαντα A.H. 11. ἀνθρώπων] τῶν ἀνθ. A. 12. τῶν θεῶν αὐτῶν G.

versabantur, rem militarem jam inde a pueris addiscerent, gladiosque
continenter ac vulgo per vias publicas, pagos, agrosque et rura
4 gestarent. At vero cum sese primum Christus ostendisset, (de
quo prophetæ olim ista cecinerant: *Orietur in diebus ipsius jus-* Ps. 71, 7.
titia et multitudo pacis: et conflabunt gladios suos in vomeres, et Isa. 2, 4.
lanceas suas in falces, non sumet gens adversus gentem gladium, nec
discent amplius bellum gerere :) oraculorum veritatem continuo rerum
exitus comprobavit. Etenim multiplex ille Romanorum principatus
illico sublatus est, cum Augustus sub ipsum nostri servatoris ad-
ventum summam rerum unus accepisset. Ex eo vero tempore ad
ætatem usque nostram, civitates ut antea cum civitatibus dimicantes,
populosque cum populis commissos, hominum denique vitam rerum
5 omnium perturbatione contritam nemo vidit. Quis ergo non jure
miretur, si diligenter secum ipse cogitet, quid causæ fuerit, quam-
obrem homines olim, quo tempore gentes universas dæmones tyran-
nide oppressas tenebant, et summo cunctis a mortalibus cultu cele-
brabantur, deorum ipsorum œstro perciti, in mutua bella furioso

Pacem orbis, Christi ortum consequutam esse.

κατ' ἀλλήλων ἐξεκαίοντο πολέμους—ὡς τοτὲ μὲν Ἕλληνας αὐτοῖς Ἕλλησι, τοτὲ δὲ Αἰγυπτίους Αἰγυπτίοις, p. 11
καὶ Σύρους Σύροις, Ῥωμαίους τε Ῥωμαίοις πολεμεῖν, ἀνδραποδίζεσθαί τε ἀλλήλους καὶ κατατρύχειν ταῖς πολιορκίαις, ὥσπερ οὖν αἱ περὶ τούτων δηλοῦσι τῶν παλαιῶν ἱστορίαι—ἅμα δὲ τῇ τοῦ σωτῆρος ἡμῶν εὐσεβεστάτῃ [καὶ εἰρηνικωτάτῃ] διδασκαλίᾳ τῆς μὲν πολυθέου πλάνης καθαίρεσις ἐπετελεῖτο, τὰ δὲ τῆς τῶν ἐθνῶν διαστάσεως παῦλαν αὐτίκα παλαιῶν κακῶν ἀπελάμβανεν; Ὃ καὶ μάλιστα μέγιστον ἡγοῦμαι τεκμήριον τυγχάνειν τῆς ἐνθέου καὶ ἀφορήτου δυνάμεως τοῦ σωτῆρος ἡμῶν. b

6 Τῆς δ' ἐκ τῶν αὐτοῦ λόγων προφαινομένης ὠφελείας δεῖγμα ἐναργὲς ἴδοις ἄν, ἐπιστήσας, ὡς οὐδὲ ἄλλοτέ πω ἐξ αἰῶνος, οὐδ' ὑπό τινος τῶν πάλαι διαφανῶν, ἐκ μόνων δὲ τῶν αὐτοῦ φωνῶν, καὶ τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην διαδοθείσης διδασκαλίας αὐτοῦ, εὖ τὰ πάντων τῶν

d pen. ἐξεμαίνοντο] ἐξεκαίοντο A.H.
p. 11. 1. Ῥωμαίους τε] τε om. A. 3. πολιορκίαις] πολυορκίαις D. et mox τοῦτον. 6. καὶ εἰρηνικωτάτῃ om. A.H. 7. καθαίρεσις] καταίρεσις ed. Viger. καθαίρεσιν C. Mox ἀπετελεῖτο A. pro ἐπετ. 11. ἀπορρήτου] ἀφορήτου A.H. b 4. πω] ποτε C.G. 8. εὖ τὰ πάντα] εἰς τὰ πάντων A.H. πάντων item C.G.

quodam impetu ruerent: sic, ut modo Græci cum Græcis, modo cum Ægyptiis Ægyptii, Syri cum Syris, cum Romanis denique Romani ipsi bella susciperent, aliique vicissim alios vel in servitutem abducerent, vel obsidionibus conficerent, quemadmodum veteres illorum temporum historiis consignatum ac testatum reliquere. Ut primum autem religiosissima pacisque amantissima servatoris nostri doctrina increbuit, non ille tantum error, qui deorum multitudinem invehebat, funditus tolleretur; verum etiam importatæ dudum per ista populorum dissidia calamitates subito conquiescerent? Equidem id vel maximum arbitror divinæ arcanæque servatoris nostri pote-
6 statis argumentum. Illius autem utilitatis, quæ palam doctrinæ hujus prædicationem consequuta est, cuivis rem secum attente reputanti clarum hoc in primis et illustre specimen intueri liceat; quod nec alias unquam ex omni hominum memoria, nec ab eorum ullo qui fama quondam nominis et existimatione floruerunt: sed tantum ex quo ipsius doctrinæ per universum orbem diffusæ verbis et concioni-

ἐθνῶν νόμιμα κεῖται, αὐτὰ ἐκεῖνα τὰ πρὶν θηριώδη καὶ
βάρβαρα· ὡς μηκέτι Πέρσας μητρογαμεῖν τοὺς αὐτῷ
μαθητευθέντας, μὴ δ' ἀνθρωποβορεῖν Σκύθας διὰ τὸν c
καὶ μέχρις αὐτῶν ἐλθόντα τὸν Χριστοῦ λόγον, μηδ'
ἄλλα γένη βαρβάρων ἐκθέσμως θυγατράσι καὶ ἀδελ-
[9] *φαῖς μίγνυσθαι, μηδ' ἄρρενας ἄρρεσιν ἐπιμαίνεσθαι*
καὶ τὰς παρὰ φύσιν ἡδονὰς μετιέναι, μηδὲ κυσὶ καὶ οἰω-
νοῖς τοὺς οἰκείους νεκροὺς προτιθέναι τοὺς πάλαι τοῦτο
πράττοντας, μηδ' ἀγχόνῃ τοὺς γεγηρακότας, ὥσπερ οὖν
πρότερον, παραβάλλειν, μηδὲ σάρκας νεκρῶν τῶν φιλ-
τάτων κατὰ τὸ παλαιὸν ἔθος θοινᾶσθαι, μηδ' ἀνθρωπο-
θυτεῖν ὡς θεοῖς τοῖς δαίμοσι κατὰ τοὺς παλαιούς, μηδὲ
τὰ φίλτατα κατασφάττειν ἐπ' εὐσεβείας ὑπολήψει. d
7 *Ταῦτα γὰρ ἦν καὶ συγγενῆ τούτοις μυρία τὰ πάλαι τὸν*
ἀνθρώπων βίον λυμαινόμενα. Ἱστοροῦνται Μασσα-

b 10. *αὐτῷ*] *αὐτὸ* D. c. *Χριστοῦ*] *θεοῦ* C. *τοῦ θεοῦ* G. 2. *βαρβάρων*] *βάρβαρα* C.G. 4. *ἐπιμαίνεσθαι*] *ὑπιμαίνεσθαι* C. 8. *ἦν*] *οὖν* C.G.H. 9. *ἐπιβάλλειν*] *παραβάλλειν* A.C.H. *περιβάλλειν* G. 10. *θοινᾶσθαι*] *οἰνᾶσθαι* A. *τῶν φιλτάτων* D. in marg. d. *εὐσεβείας*] *ἐπ' εὐσεβείας* A.C.E.G. 3. *τῶν ἀνθρώπων*] *τῶν* om. A.

Gentium feritatem Christi doctrina sublatam esse.

bus hominum aures afflari cœpere, continuo factum sit, ut qui ferini prius ac barbari nationum omnium mores fuerant, iidem lenioribus et humanioribus institutis mansuescerent. Itaque nec Persæ qui semel ejus disciplinæ nomen dederunt, nuptias amplius cum matribus ineunt: nec Scythæ, quod in eorum quoque regionem Christi sermo penetrarit, humana jam carne pascuntur; nec alia barbarorum genera incesto filiarum ac sororum concubitu polluuntur: nec ad mares furioso libidinis æstu mares ipsi rapiuntur, nec cæteras, quæ naturæ leges violant, corporis voluptates persequuntur, nec canibus atque volucribus necessariorum ac propinquorum suorum cadavera, quibus id quondam in more fuerat, objiciunt: nec senio jam confectis, ut antea, laqueos injiciunt, nec sibi amicissimorum carne post obitum antiquo ritu saginantur: nec majorum instituto dæmonibus tanquam diis homines immolant, nec sibi carissimos jugulant falsa
7 pietatis opinione delusi. Hæc nimirum illa sunt, aliaque id genus propemodum infinita, quibus infesta quondam hominum vita habe-

γέται καὶ Δέρβικες ἀθλιωτάτους ἡγεῖσθαι τῶν οἰκείων
τοὺς αὐτομάτως τελευτήσαντας, διὸ καὶ φθάσαντες
κατέθυον, καὶ εἱστιῶντο τῶν φιλτάτων τοὺς γεγηρακότας·
Τιβαρηνοὶ δὲ ζῶντας κατεκρήμνιζον τοὺς ἐγγυτάτω
γέροντας· Ὑρκανοὶ δὲ καὶ Κάσπιοι, οἱ μὲν οἰωνοῖς καὶ
κυσὶ παρέβαλλον ζῶντας, οἱ δὲ τεθνεῶτας· Σκύθαι δὲ
συγκατώρυττον ζῶντας, καὶ ἐπέσφαττον ταῖς πυραῖς
οὓς ἠγάπων οἱ τεθνεῶτες μάλιστα· καὶ Βάκτριοι δὲ τοῖς p. 12
8 κυσὶ παρέβαλλον ζῶντας τοὺς γεγηρακότας. Ἀλλὰ
ταῦτα μὲν πάλαι ἦν πρότερον, νυνὶ δὲ οὐκ ἔθ᾽ ὁμοίως
ἐστὶν, ἑνὸς τοῦ σωτηρίου νόμου τῆς εὐαγγελικῆς δυνά-
μεως τὴν θηριώδη καὶ ἀπάνθρωπον τούτων ὅλων κατα-
9 λύσαντος νόσον. Τὸ δὲ μηκέτι θεοὺς ἡγεῖσθαι ἤτοι τὰ

d 4. Δέρβικες ἀθλιωτάτους] Βέβρυκες ἀθλίους A.H. Βέβρικες E. V. et γρ. S. Δέρβικες Porphyr. Abst. IV. 21. cf. Strabo XI. p. 790=756. Ceterum A. habet in marg. ἔθνη μυσαρὰ ἐθνῶν, Μασσαγετῶν Βεβρύκων. 8. παρακμάσαντας. Τιβαροὶ δὲ] γεγηρακότας. Τιβαρηνοὶ δὲ A.H. Τιβαρηνοὶ C.E.G. V. γρ. S. Vid. Wyttenbach. ad Plutarch. p. 328 C. A. in marg. Τιβαρηνῶν Ὑρκανῶν καὶ Κασπίων. 10. δὲ καὶ] δὲ om. C.G. Mox παρέβαλον D. 12. ζῶντας καὶ] γρ. ζῶντας τοὺς δέροντας καὶ S. pen. συγκατώρυττον] συγκατύρηττον C. Mox ὑπέσφαζον C. ἐπέσφαζον G.H.

p. 12. Βάκριοι] Βάκτριοι C.G.H.V. Βακτήριοι A. γρ. Βάκτριοι, et deleto illo in textu ora habet βάκτριοι S. Tum μὲν τοῖς A.C.H. Mox παρέβαλον C.G. 2. γέροντας] γεγηρακότας A.H. 6. καταλύσαντος] παραλύσαντος A.H. παρακαταλ. C. καταλύσαντάς D. παραλύσαντος (κατα above) G.

batur. Ac Massagetæ quidem atque Derbices, ut historiarum fide proditum est, propinquorum suorum longe miserrimos eos putabant, qui naturali fato supremum vitæ diem obiissent, cujus ante propterea necessitatem occupantes, quos vehementius diligerent, eos ætate jam effœtos non immolabant modo, sed iis etiam quasi lautissimis epulis utebantur. At vero Tibareni, senes maxima secum affinitate conjunctos præcipites agere: Hyrcani vivos eosdem ac spirantes, Caspii jam morte functos avibus canibusque objicere: Scythæ vivos una defodere, quosque mortui summopere adamassent, ipsorum ad rogos jugulare, Bactrii denique seniores adhuc superstites canibus itidem
8 laniandos projicere consueverant. Hæc, inquam, omnia superioribus illis temporibus grassabantur, nunc autem fieri omnino desiere, immani ac belluina tot malorum peste salutaris unius evangelicæ legis
9 viribus profligata. Jam vero, quod neque expertia vitæ, surdaque

νεκρὰ καὶ κωφὰ ξόανα, ἢ τοὺς ἐν τούτοις ἐνεργοῦντας
πονηροὺς δαίμονας, ἢ τὰ μέρη τοῦ φαινομένου κόσμου,
ἢ τὰς τῶν πάλαι κατοιχομένων θνητῶν ψυχὰς, ἢ τῶν
ἀλόγων ζώων τὰ βλαπτικώτατα, ἀντὶ δὲ τούτων ἁπάν-
των διὰ μιᾶς τῆς εὐαγγελικῆς τοῦ σωτῆρος ἡμῶν διδα- b
σκαλίας, Ἕλληνας ὁμοῦ καὶ βαρβάρους, τοὺς γνησίως
ἀλλ᾽ οὐκ ἐπιπλάστως αὐτοῦ τῷ λόγῳ προσανέχοντας,
εἰς τοσοῦτον ἄκρας φιλοσοφίας ἐλθεῖν, ὡς μόνον τὸν
ἀνωτάτω Θεὸν, αὐτὸν ἐκεῖνον τὸν ἐπέκεινα τῶν ὅλων,
τὸν παμβασιλέα καὶ κύριον οὐρανοῦ καὶ γῆς ἡλίου τε
καὶ ἄστρων, καὶ τοῦ σύμπαντος κόσμου δημιουργὸν,
σέβειν καὶ ὑμνεῖν καὶ θεολογεῖν, βιοῦντε ἀκριβῶς καὶ
οὕτως μανθάνειν, ὡς μέχρι καὶ τοῦ ἐμβλέπειν τοῖς
ὀφθαλμοῖς παιδαγωγεῖσθαι, καὶ μηδὲν ἀκόλαστον ἐκ c
τοῦ μετ᾽ ἐπιθυμίας ὁρᾶν ἐννοεῖν, πρόρριζον δ᾽ ἐξ αὐτῆς

a 10. ἢ τὰς—κατοιχομένων] καὶ τὰς—κατοιχομένας C.G. τῶν πάλαι] πάλαι τῶν A. 11. ἀλόγων] ἀναλόγων E. 12. βλαπτικώτερα] βλαπτικώτατα C.G.H. ἀντὶ δὲ] ἀντί τε A. b. τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγ.] τῆς εὐαγγελικῆς τοῦ σωτῆρος ἡμῶν A.H. 3. γνησίως—ἐπιπλάστως αὐτοῦ] γνησίους—ἐπιπλάστους αὐτῷ D.V. γρ. S. 4. τῷ λόγῳ προσανεχ.] τῶν λόγων προσέχοντας C.G. προσέχοντας D. 7. καὶ κύριον] κυροὺ G. 10. οὕτω] καὶ οὕτως A.H. οὕτως G.

simulacra, neque conscelerati dæmones suarum in iis præstigiarum vim exerentes, neque partes mundi hujus aspectabilis, neque hominum pridem extinctorum manes, neque animantium ratione carentium teterrimæ ac nocentissimæ deorum amplius in numero habeantur: sed istorum omnium loco, per unam hanc evangelicam servatoris nostri doctrinam effectum sit, ut ex Græcis pariter ac Barbaris quotquot ejus verbum sincero animo, non simulatione quadam et inani ostentatione suscipiunt, eum supremæ philosophiæ gradum attingant, ut unum eundemque summum deum, nullis hujus aut universitatis aut ævi finibus comprehensum, præpotentem cœli terrarumque regem ac dominum, solis, astrorum, totiusque mundi procreatorem venerentur, celebrent, Deumque fateantur: ita porro vitam quasi ad amussim exigere conformareque studeant, ut ipsum etiam oculorum sensum disciplinæ legibus contineant, nihilque non temperatum ex aspectu cum cupiditate conjuncto in animum subire patiantur, ac vel ipsa ex cogitatione radicitus genus omne fœdæ

Veri Dei cognitionem religionis Christianæ fructum esse.

διανοίας πᾶν αἰσχρὸν ὑποτέμνεσθαι πάθος· ταῦτα πάντα
10 πῶς οὐκ ἂν τοῖς πᾶσι συμβάλλοιτο πρὸς εὐζωΐαν; Καὶ
τὸ μηδ' εὐορκίας δεῖσθαι, πολλοῦ δεῖ ἐπιορκεῖν, διὰ τὸ
πρὸς αὐτοῦ μανθάνειν μηδὲ ὀμνύναι ὅλως, ἐν πᾶσι δὲ
ἀψευδεῖν καὶ ἀληθεύειν, ὡς ἀρκεῖσθαι τῷ ναὶ καὶ τῷ οὔ,
παντὸς ὅρκου βεβαιοτέραν τὴν προαίρεσιν κατασκευ-
άζοντας; Τὸ δὲ μηδ' ἐν ψιλοῖς ῥηματίοις καὶ ταῖς κοι- d
ναῖς ὁμιλίαις ἀδιαφορεῖν, ἀκριβολογεῖσθαι δὲ καὶ μέχρι
τούτων, ὡς μήτε ψεῦδος, μήτε λοιδορίαν, μήτε τι αἰ-
σχρὸν καὶ ἄσχημον ῥῆμα προΐεσθαι τῇ φωνῇ, διὰ τὴν
αὐτοῦ πάλιν παρακέλευσιν, δι' ἧς ἔφησε, περὶ παν-
τὸς ἀργοῦ ῥήματος δώσετε λόγον ἐν ἡμέρᾳ κρίσεως·
11 ὁποίας ὑπερβολῆς φιλοσόφου ζωῆς ἔχεται; Τὸ δὲ καὶ
συλλήβδην ἀθρόως μυριάδας ὅλας ἀνδρῶν καὶ γυναι-
κῶν καὶ παίδων, οἰκετῶν τε καὶ ἐλευθέρων, ἀδόξων τε
καὶ ἐπιδόξων, καὶ προσέτι βαρβάρων ὁμοῦ καὶ Ἑλλή-

c 5. συμβάλλοιτο] συμβάλοιτο C. πρὸς εὐζ. τοῖς π. σ. H. 6. μηδὲν] μηδ' A.H. μὴ δὲ εὐερκίας G. γε δεῖ] γε om. A.C.D.G. 8. ὅλως] πᾶσιν ὅλως A.H. 10. παντὸς ὅρκου τὴν προαίρεσιν βεβαιοτέραν παρασκευάζοντας] παντὸς ἔργου βεβαιότερον τὴν προαίρεσιν κατασκευάζοντας A. παντὸς ὅρκου β. τ. π. C.H. βεβαιοτέραν τὴν προαίρεσιν D.G. 11. μηδ' ἐν] μηδὲ A.H. d 4. μήτε τι] τι om. A.H. 5. πάλιν om. D. 7. δώσετε] δώσεται C.D. 8. ζωῆς om. H.

perturbationis exscindant: hæc omnia quis plurimum cunctis homi-
nibus ad bene beateque vivendum momenti afferre non videat?
10 Præterea, quod nullo plane jurejurando opus habeant, (tantum abest
ut perjurio locus esse possit) eo quod nunquam omnino jurandum
esse, at rejecto mendacio verum constanter et ubique retinendum ex
illo didicerunt, adeo ut, ita, vel non, in omnem partem satis esse
putent, quippe qui vel ipsam animi inductionem omni sacramento
firmiorem atque certiorem exhibeant. Similiter, quod ne in levissi-
mis quidem voculis, ac mutuis quotidianisque congressionibus sese
negligentius habere velint, sed in iis etiam accurate quicquid
loquuntur expendant, ne quod ipsis verbum aut vanum, aut con-
tumeliosum, aut turpe, minusve compositum excidat; idque pro-
Matth. 12, 36. pter unum hoc ejusdem monitum: *De omni verbo otioso reddetis*
rationem in die judicii; totum, inquam, illud cujus obsecro vitæ est,
Præcepta Christianæ religionis eximia. 11 quamque sublime philosophiæ genus profitentis? Ad hæc, quod
infinita virorum, mulierum ac puerorum, servorum pariter atque
liberorum, ignobilium et nobilium, nec non Barbarorum simul atque

νων, κατὰ πάντα τόπον καὶ πόλιν καὶ χώραν, ἐν πᾶσι
τοῖς ὑφ' ἡλίῳ ἔθνεσιν ἐπὶ διδασκαλίᾳ τῶν τοιούτων p. 13
μαθημάτων, οἵων ἀρτίως μεμαθήκαμεν, φοιτᾶν καὶ τὰς
ἀκοὰς λόγοις παρέχειν, ἀναπείθουσιν οὐ μόνον ἀκολά-
στων ἐγχειρημάτων, ἀλλὰ καὶ τῶν κατὰ διάνοιαν αἰ-
σχρῶν ἐνθυμημάτων γαστρός τε καὶ τῶν ὑπὸ γαστέρα
κρατεῖν· τό τε πᾶν γένος ἀνθρώπων παιδείαν παιδεύ-
εσθαι ἔνθεον καὶ εὐσεβῆ, φέρειν τε μανθάνειν γενναίως
καὶ βαθεῖ φρονήματι τὰς τῶν ἐπανισταμένων ὕβρεις,
[10] καὶ μὴ τοῖς ἴσοις τοὺς φαύλους ἀμύνεσθαι, θυμοῦ δὲ
καὶ ὀργῆς καὶ πάσης ἐμμανοῦς ὀρέξεως κρείττους
γίνεσθαι, ναὶ μὴν καὶ τῶν ὑπαρχόντων ἀπόροις καὶ b
ἐνδεέσι κοινωνεῖν, πάντα τε ἄνθρωπον ὁμογενῆ δεξιοῦ-
σθαι, καὶ τὸν νενομισμένον ξένον ὡς ἂν νόμῳ φύσεως
οἰκειότατον καὶ ἀδελφὸν γνωρίζειν.

12 Πάντα δὴ ἀθρόως ταῦτά τις συναγαγὼν, πῶς οὐκ ἂν
ὁμολογήσειε τὰ μέγιστα καὶ ἀληθῶς ἀγαθὰ πάντας ἀν-

d ult. καὶ πᾶσι] ἐν πᾶσι G.H. ἥλιον] ἡλίῳ A.H.
p. 13. 2. τοιούτων om. A.H. 4. ἐπιχειρημάτων] ἐγχειρημάτων A.H. 5. διάνοιαν] δύναμιν H. 7. γένος] γένος ἀνθρώπων A.H. 9. γενναίως] γενναίῳ H. 10. ἐπανισταμένων] ἐπιστανομένων A. 11. δὲ καὶ] τε καὶ A.H. 12. ἐμμανοῦς] ἐμφανοῦς A.H. b 2. ἀπόροις] εὐπόροις C.

Græcorum, omnibus in locis, oppidis, regionibus, et quotquot soli subjectæ sunt nationibus, ad subeundam eorum præceptorum quibus nuper informati sumus disciplinam, denso agmine multitudo confluat, ejusmodique sermonibus aures præbeat, quibus ad coercendam non actionum modo petulantiam, verum etiam earum quæ in sola mente versantur cogitationum turpitudinem, omnesque tum ventris, tum quæ sub ventre sedem habent voluptates domandas excitetur: quodque nullum non genus hominum divinæ doctrinæ præceptionibus imbuatur, ut lacessentium inimicorum injurias excelso exaggeratoque animo ferre, non mutuis ac similibus improbos homines ulcisci velit: ut iracundiæ vim, ut impotentem ac furiosum cupiditatis omnis impetum regere ac frænare conetur, adeoque ut opes fortunasque suas cum inopibus egentibusque communicet: ut quemlibet hominem communis humanitatis nomine complectatur, quemque vulgo tanquam peregrinum habent, eum quasi naturæ lege conjunctissimum ac
12 veluti fratrem agnoscat. Hæc qui simul universa congerat, fierine

θρώπους εὐαγγελίσασθαι τὸν ἡμέτερον λόγον, τό τε
αὐτόθεν ὑπερέχον πρὸς εὐζωΐαν τῷ τῶν ἀνθρώπων παρε-
13 σχηκέναι βίῳ; Ὁποῖον δέ σοι εἶναι δοκεῖ, τὸ πᾶν c
γένος ἀνθρώπων, οὐ μόνον Ἑλλήνων, ἀλλὰ καὶ τῶν
ἀνημερωτάτων βαρβάρων καὶ τῶν ἐν ταῖς ἐσχατιαῖς τῆς
γῆς οἰκούντων, τῆς μὲν ἀλόγου θηριωδίας ἀνασχεῖν,
14 δόξας δὲ φιλοσόφους ἀναλαβεῖν παρασκευάσαι; Οἷον,
φέρε εἰπεῖν, τὰς περὶ ἀθανασίας ψυχῆς, καὶ ζωῆς τῆς
παρὰ τῷ Θεῷ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν τοῖς θεοφιλέ-
σιν ἀποκειμένης, δι' ἣν τοῦ προσκαίρου τούτου ζῆν κατα-
φρονεῖν ἐμελέτησαν· ὥστε ἀποδεῖξαι παῖδας τοὺς πώ- d
ποτε ἐπὶ φιλοσοφίᾳ διαβοηθέντας, καὶ παίγνιον τὸν θρυ-
λούμενον ἐκεῖνον θάνατον, ἀνὰ στόμα φιλοσόφων πάν-
των ᾀδόμενον· θηλειῶν παρ' ἡμῖν καὶ κομιδῇ παίδων
βαρβάρων τε ἀνδρῶν καὶ εὐτελῶν τῷ δοκεῖν τῇ τοῦ σω-
τῆρος ἡμῶν δυνάμει τε καὶ συνεργείᾳ τὸν περὶ ψυχῆς

b 8. εὐαγγελίσασθαι] εὐηγγελίσθαι C.G. εὐαγγελίσθαι D. 11. εἶναι δοκεῖ] δοκεῖ εἶναι D. c. γένος om. C.G. Mox ἀλλήλων pro Ἑλλήνων C.G. 4. θηριωδείας] θηριωδίας A.C.E.G.H. 6. εἰπεῖν om. C.G.H. 7. Θεῷ] τῷ Θεῷ A. παρ' αὐτοῦ Θεοῦ H. d 2. διαβοήτους] βοηθέντας A.H. διαβοηθέντας ἐπὶ φιλοσ. C.G. διαβοήτους ἐπὶ φιλ. D. 3. φιλοσόφων πάντων] πάντων φιλοσόφων A.H. 6. εὐτελῶν τῷ] εὐγενῶν ὥστε τῷ C.G. 7. συνεργίᾳ G.

poterit quin idem prædicatam a nobis doctrinam eam esse fateatur,
quæ summa veraque bona cunctis hominibus feliciter nunciarit,
quodque præcipuum et quasi caput ad bene beateque vivendum per
13 sese erat, hominum vitæ contulerit? Illud porro quod sequitur,
cujusmodi tandem esse putas, quod nimirum eadem genus hominum
universum non Græcorum modo, sed ferocissimorum etiam barbaro-
rum, et eorum qui in extremis terræ finibus degebant, a vecordi
ferinoque ritu abduxerit, atque ad sententias philosophis plane dignas
14 traduxerit? Cujusmodi sunt eæ, quas de animi immortalitate vita-
que illa, quæ postquam migratum hinc fuerit Deo caros homines
apud ipsum quasi recondita manet, imbiberunt: cujus amore capti
tantum in brevis hujus fluxæque vitæ contemptu meditationis ac
studii posuere, ut vere pueros, quotquot olim maximam ex philoso-
phia laudem sibi famamque pepererant, illamque jactatam perdiu
mortem ac philosophorum omnium ore decantatam, nihil nisi pueri-
lem quandam lusionem fuisse ostenderint; cum ipsæ quoque apud

Immortalitas animorum religionis Christianæ dogma.

ἀθανασίας λόγον ἔργοις πρότερον ἢ ῥήμασιν ἐπαληθεύοντα δειξάντων. Οἷον δὲ, καὶ τὸ καθόλου πάντας ἀνθρώπους, τοὺς ἐν πᾶσι τοῖς ἔθνεσιν, ἐκ τῶν τοῦ σωτῆρος ἡμῶν μαθημάτων περὶ Θεοῦ προνοίας, ὡς ἐφορώσης τὰ σύμπαντα, ὑγιῶς καὶ ἐρρωμένως φρονεῖν παιδεύεσθαι, καὶ τὸ πᾶσαν ψυχὴν μανθάνειν τὸν περὶ p. 14 δικαιωτηρίου καὶ κρίσεως Θεοῦ λόγον, καὶ τὸ πεφροντισμένως ζῆν, καὶ φυλακτικῶς ἔχειν τῶν τῆς κακίας ἐπιτηδευμάτων.

5 Κεφάλαιον δὲ τῆς πρώτης καὶ μεγίστης εὐεργεσίας b τοῦ σωτηρίου λόγου γνοίης ἂν, εἰ ἐν νῷ λάβοις τὴν δεισιδαίμονα πλάνην τῆς παλαιᾶς εἰδωλολατρείας, ᾗ τὸ σύμπαν ἀνθρώπων γένος δαιμόνων ἀνάγκαις πάλαι πρότερον κατετρύχωτο· ἧς ὥσπερ ἀπὸ σκοτίας ζοφωδεστάτης Ἕλληνας ὁμοῦ καὶ βαρβάρους δυνάμει θείᾳ μεταστησάμενος, ἐπὶ νοερὰν καὶ φωτεινοτάτην ἡμέραν

d 13. ὑγιῶς] ὑγιῶν D. Supra ὡς om. G.
p. 14. a. δικαιωτηρίων] δικαιωτηρίου A. δικαιοσύνης C.G. δικαιοτέρων D.
b 3. λάβοις] λάβῃς C.G. 4. εἰδωλολατρίας G. 6. κατετρύχετο] κατετρύχωτο A.H. 7. ζοφερωτάτης] ζοφωδεστάτης A.H. Mox φωτεινὴν H.

nos puellæ tenerique pusiones, adeoque barbari homines, iidemque si oculis æstimarentur, viles et abjecti, servatoris nostri viribus auxilioque freti, hujus de animorum immortalitate doctrinæ veritatem re ipsa potius quam oratione comprobarint. Cujusmodi etiam illud est, quod universi passim homines, ubi ubi gentium ipsi degant, ex ejusdem servatoris nostri disciplinæ præceptis sanum et constantem divinæ providentiæ hanc rerum universitatem moderantis sensum hauriant, quodque nemo non ea quæ de tribunali judicioque divino prædicantur mente percipiat, eoque plurimum instituendæ vitæ cautionis adhibeat, et ab omni sceleris improbitatisque genere singulari studio ac provisione declinet.

Idololatria per Christianam religionem profligata.

5 At vero præcipui maximique beneficii, quod a salutari prædicatione profectum est, ita facile summam intelligas, si superstitiosum illum errorem veteris idololatriæ tecum ipse reputes, qua genus humanum universum propter vim ac violentiam dæmonum antea pessundabatur: ex qua tamen illa sic tanquam ex teterrima caligine Græcos simul ac Barbaros divino numine liberatos, ad spiritalem

τῆς ἀληθοῦς εὐσεβείας τοῦ παμβασιλέως Θεοῦ τοὺς c
2 πάντας μετηγάγετο. Καὶ τί χρὴ μηκύνειν ἀποδεικνύναι
πειρωμένους ὅτι μὴ ἀλόγῳ πίστει ἑαυτοὺς ἀνεθήκαμεν,
σώφροσι δὲ καὶ ὠφελίμοις λόγοις τὸν τῆς ἀληθοῦς
εὐσεβείας τρόπον περιέχουσι; Τῆς παρούσης ὑπο-
θέσεως αὐτὸ δὴ τοῦτο καθόλου πραγματευομένης, τοὺς
μὲν ἐπιτηδείως ἔχοντας ἕπεσθαι λόγων ἀποδείξεσι προ-
τρέπομεν καὶ παρακαλοῦμεν φρονήσεως ἐπιμελέσθαι, καὶ
λογικώτερον τῶν δογμάτων τὰς ἀποδείξεις παραλαμβά-
νειν, ἑτοίμους τε εἶναι πρὸς ἀπολογίαν παντὶ τῷ ἐπερωτῶντι d
3 ἡμᾶς τὸν λόγον τῆς καθ' ἡμᾶς ἐλπίδος. Ἐπεὶ δὲ μὴ
πάντες τοιοῦτοι, φιλανθρώπου τυγχάνοντος τοῦ λόγου,
καὶ μηδένα μηδαμῶς ἀποτρεπομένου, πάντα δὲ ἄνθρω-
πον τοῖς καταλλήλοις ἰωμένου φαρμάκοις, καὶ τὸν
ἀμαθῆ καὶ ἰδιώτην ἐπὶ τὴν τῶν τρόπων θεραπείαν παρα-
καλοῦντος· εἰκότως ἐν εἰσαγωγῇ τοὺς ἀρχομένους τῶν
ἰδιωτικωτερων γύναια καὶ παῖδας καὶ τὸ τῶν ἀγελαίων

c 3. μὴ] μηδὲ A. 9. λόγων φρονήσεως] λόγων om. A.C.G.H. λόγον D.
d 8. πραοτέραν] τῶν τρόπων A.C.D.G.H.S.V. 10. ἰδιωτικωτέρων] γρ. ἰδιωτέρων S. 11. ἀγελαίων] ἀναγκαίων suprasc. γρ. ἁλιέων D. ἁλιέων V. et nescio an S.

2 eandemque clarissimam veræ erga Deum præpotentem rerum omnium
regem pietatis lucem vindicavit. Sed enim, quid attinet hoc loco
pluribus id conari, ut non inconsideratæ cuidam ac temerariæ fidei,
sed consilii utilitatisque plenis rationibus, quæque veræ pietatis
formam et institutum complectantur, nos ipsos addixisse ostendamus?
Equidem, cum universo hoc opere id agatur unum, qui vim ac mo-
menta rationum capere et assequi possunt, eos ut in perviden-
dam argumentorum sanitatem incumbant, ut quas accipiunt dog-
matum nostrorum demonstrationes attentius ac subtilius exami-
1 Pet. 3, 15. nent, uti denique *ad suscipiendam, quicunque rationem ex nobis
quærat, illius quæ Religione nostra continetur spei defensionem,
promptos sese ac paratos exhibeant, etiam atque etiam adhortamur.
3 Nunc vero, quoniam omnium ea facultas et solertia non est, cum
ejusmodi sit tamque amans hominum verbi divini suavitas, ut nemi-
nem omnino repudiet, sed potius cuilibet sanando congruam et con-
venientem medicinam adhibeat: adeoque imperitos et idiotas ad
leviorem curationis rationem invitet; jure sane ac merito qui ex

Credere quanti sit momenti, accurata inductione probat.

πλῆθος ἐπὶ τὸν εὐσεβῆ βίον χειραγωγοῦντες, ὡς ἐν φαρμάκου μοίρᾳ, τὴν ὑγιῆ πίστιν παραλαμβάνομεν, ὀρθὰς δόξας περὶ θεοῦ προνοίας, καὶ περὶ ψυχῆς ἀθανασίας, καὶ περὶ τοῦ κατ' ἀρετὴν βίου ἐντιθέντες αὐτοῖς. p. 15

4 Ἢ οὐχ οὕτως καὶ τοὺς τὰ σωμάτων κάμνοντας ἐπιστημόνως ἰωμένους ὁρῶμεν, αὐτοὺς μὲν διὰ πλείστης
[11] ἀσκήσεως καὶ παιδείας τοὺς κατὰ ἰατρικὴν λόγους ἀνειληφότας, καὶ πάντα λογικῶς χειρουργοῦντας, τούς γε μὴν ἐπὶ θεραπείᾳ προσιόντας αὐτοῖς πίστει ἑαυτοὺς καὶ τῇ τῶν χρηστοτέρων ἐλπίδι παρέχοντας· καὶ τῶν μὲν κατὰ τὴν ἐπιστήμην θεωρημάτων μηδὲν ἀκριβῶς ἐπαΐοντας, μόνης δὲ τῆς ἀγαθῆς ἐλπίδος τε καὶ πίστεως
5 ἐξηρτημένους; Καὶ ὁ μὲν τῶν ἰατρῶν ἄριστος εἰς b
μέσον παρελθὼν, ἅ τε χρὴ προφυλάττεσθαι, καὶ ἃ προσήκει δρᾶν, ὥσπερ τις ἄρχων καὶ κύριος μετ' ἐπι-

d 15. καὶ περὶ] καὶ τοῦ περὶ C.G.

p. 15. a. σωμάτων τῶν καμνόντων ἰωμένους ἐπιστημόνως] σωμάτων κάμνοντας ἐπιστημόνως ἰωμένους A.H. 5. χειρουργοῦντας] χειραγωγοῦντας C.D.G.S.V. Mox τούς τε C.G. 9. ἀκριβῶς] ἀκριβὲς D.E. b. μέσον] μέσον τε C.D.G. Mox παραφυλάττεσθαι C.V. Infra προστάττει μετ' ἐπιστήμης H.

rudioribus initiantur, mulieres videlicet ac pueros, vulgariumque ac plebeiorum hominum multitudinem ad Christianæ vitæ pietatem quasi manu adducentes, integram sanamque fidem principio sic tanquam medicamentum aliquod adhibemus, eorumque mentibus de divina providentia, de animorum immortalitate, deque vita ad vir-
4 tutis normam exigenda cogitationes inserimus. Quid autem? an non eos etiam videmus qui curandis corporum ægrotationibus operam navant, quæcunque ad exquisitam medicinæ artis cognitionem pertinent longo usu multaque doctrina perdiscere, omniaque ratione tractare: qui vero ad eosdem curandæ gratia valetudinis accesserint, illos fidei cuidam exitûsque lætioris expectationi sese ita permittere, ut cum ex istius scientiæ præceptis intelligere nihil accurate perfecteque possint, non nisi ex utraque suspensas habeant incolumitatis
5 suæ rationes. Ac peritissimus quidem medicus in medium prodiens, quid aut cavere aut facere oporteat, sic tanquam princeps ac dominus aliquis scienter præcipit: ægrotus autem ipsi perinde ac regi et legislatori obsequitur, quod sibi quicquid præceptum ab eo fuerit,

στήμης προστάττει· ὁ δ᾽ ὡς βασιλεῖ καὶ νομοθέτῃ πεί-
θεται, πιστεύων συνοίσειν αὐτῷ τὸ προστεταγμένον.
6 Οὕτω καὶ μαθηταὶ παρὰ διδασκάλων λόγους παιδείας
ἀποδέχονται, πιστεύσαντες ἀγαθὸν αὐτοῖς ἔσεσθαι τὸ
μάθημα, ναὶ μὴν καὶ φιλοσοφίας οὐ πρότερόν τις ἐφά-
ψαιτ᾽ ἄν, ἢ πιστεύσας συνοίσειν αὐτῷ τὸ ἐπάγγελμα· c
καὶ ὁ μέν τις αὐτόθεν εἵλετο τὰ Ἐπικούρου, ὁ δὲ τὸν
Κυνικὸν ζηλοῖ βίον, ἄλλος κατὰ Πλάτωνα φιλοσοφεῖ,
κατ᾽ Ἀριστοτέλην ἕτερος, καὶ πάλιν ἄλλος πάντων τὰ
Στωϊκὰ προετίμησεν, ἑκάστου χρηστοτέρᾳ ἐλπίδι τε καὶ
7 πίστει τὸ δόξαν ὡς συνοῖσον ἀγαπήσαντος. Οὕτω καὶ
τέχνας ἄνθρωποι τὰς μέσας μετῆλθον, καὶ ἄλλοι τὸν
στρατιωτικόν, ἄλλοι δὲ τὸν ἐμπορικὸν βίον, πίστει πάλαι
προειληφότες βιοποριστικὸν αὐτοῖς ἔσεσθαι τὸ ἐπιτή-
δευμα. Καὶ γάμων δὲ αἱ πρῶται σύνοδοι, καὶ κοινω-
νίαι τῆς κατὰ παιδοποιίαν ἐλπίδος, ἐξ ἀγαθῆς ἐνήρ- d

b 5. νομοθέτῃ] νομοθετεῖ D. καὶ om. G. 6. μαθηταὶ] μαθητὴς C.G. Mox ἀποδέχεται C.G. 7. λόγους] λόγον H. 10. ἄν, ἢ] ἂν om. A.C.G.H. ἐφάψαιτο καὶ E. c 2. αὐτόθεν] ταυτόθεν H. 4. ἕτερος] ἅτερος D.G. 4. κατ᾽] καὶ κατ᾽ H. 6. τε καὶ] καὶ om. G. 8. τέχναις] τέχνας A.C.D.G.H. cum Vigeri marg. 10. πάλαι] πάλιν A.H. 11. βιοπ.] βιουπ. H. d 1. ἐνήρξαντο] ἤρξαντο C.D.G. ἐνήρξατο H.

6 utile quoque futurum putet. Ita discipuli cujusvis doctrinæ præ-
cepta a magistris excipiunt, quod ab illis didicerint, id sibi expedire
rati. Imo vero ne ipsius quidem philosophiæ partem ullam quis-
quam attingeret, nisi ejus professionem usui ante sibi fore crederet.
Atque ita factum videmus, ut alius Epicuri sectam eligeret, alius
Cynicum vivendi genus æmularetur, ad Platonis, ad Aristotelis alius
se se disciplinam adjungeret, alius denique Stoicorum dogmata
cæteris omnibus anteferret: sic ut singuli quicquid probarent, id fide
quadam speque meliori tanquam sibi profuturum amarent atque re-
7 tinerent. Sic artes eas quæ mediæ nominantur homines persequuti
sunt; et alii quidem rei militari se dedere, mercaturam alii factitare
maluerunt, ea nimirum fide ac persuasione multo ante adducti, quod
ejusmodi vitæ ratio plurimum sibi ad eam tuendam opis esset ac com-
moditatis allatura. Nuptiarum etiam primæ illæ congressiones,
ejusque spei quæ sobolis propagationem intuetur conjunctiones
mutuæ, ex sincera quadam egregiaque fide initium habuerunt.

8 ξαντο πίστεως. Καὶ πλεῖ τις αὖθις εἰς ἄδηλον, οὐδ' ἄλλην προβεβλημένος τῆς σωτηρίας ἄγκυραν ἢ μόνην τὴν πίστιν καὶ τὴν ἀγαθὴν ἐλπίδα· καὶ γεωργεῖ πάλιν ἄλλος, καὶ τὸν σπόρον εἰς γῆν ἀπορρίψας κάθηται τῆς ὥρας τὴν τροπὴν ἐκδεχόμενος, πιστεύων τὸ φθαρὲν ἐπὶ τῆς γῆς καὶ πλημμυρίσιν ὑετῶν καλυφθὲν αὖθις ὥσπερ ἐκ νεκρῶν ἀναβιώσεσθαι· πορείαν δέ τις μακρὰν ἐπ' ἀλλοδαπῆς ἐκ τῆς οἰκείας στελλόμενος, πάλιν τὴν ἐλπίδα καὶ τὴν πίστιν ἀγαθὰς ὁδηγοὺς ἑαυτῷ συνεπά-
9 γεται. Καὶ τί γὰρ ἄλλ' ἢ τὸν πάντα τῶν ἀνθρώπων βίον δυοῖν τούτοιν ἀνηρτημένον ἐλπίδος τε καὶ πίστεως καταλαμβάνων, τί δὴ θαυμάζεις, εἰ καὶ τὰ κρείττονα p. 16 κατὰ ψυχὴν τοῖς μὲν διὰ πίστεως παραδίδοται, οἷς οὐ σχολὴ λογικώτερον τὰ κατὰ μέρος παιδεύεσθαι, τοῖς δὲ καὶ τοὺς λόγους αὐτοὺς πάρεστι μετιέναι, καὶ τὰς ἀποδείξεις τῶν πρεσβευομένων μανθάνειν;

d 2. προβεβλημένος] προβεβλημένον C. Supra ἀδήλην H. pro ἄ. οὐδ' ἄλλην. 7. ἐπὶ γῆς] ἐπὶ τῆς γῆς A.H. Tum πλημμύραις C.D.G. 10. ἀλλοδάπην] ἀλλοδαπῆς A.C.D.G. Tum ἐκ om. C.G. 11. ἑαυτῷ] αὐτῷ D.G. 13. δυοῖν] δυσὶν A. δυσὶ τούτοις H. δυοῖν τούτοιν C.G. Tum ἀνηρτημένων A.C. δυεῖν τούτων ἀνηρτημένων D. ult. καταλαμβάνομεν] καταλαμβάνων A.C.D.G.H.

p. 16. 1. θαυμάζεις] θαυμαστὸν C.G. κατὰ τὴν ψ.] κατὰ ψ. A.H. καὶ κατὰ ψ. C.D.E. εἰ καὶ κρείττονα καὶ κατὰ G.

8 Præterea navigationem quis adornat ancipiti exitu, qui non alia prius salutem suam quam fidei lætæque spei anchora fundaverit. Alius item agriculturam exercet, jactoque in terram semine domi sedet, tempestatis conversionem expectans, futurumque sibi persuadens, ut semen illud jam in terræ gremio corruptum, ac pluviarum inundationibus obrutum, denuo tanquam ex ipsa morte reviviscat. Alius porro longum ex patria in exteram aliquam regionem iter instituens, spem similiter atque fidem sibi adjungit, faustas utique sibi viæ duces
9 futuras. Quid aliud denique manibus oculisque tenemus, quam vitam hominum universam ex duabus hisce rebus spe nimirum fideque suspensam teneri? Quid ergo caussæ est, quamobrem adeo mireris, quibus non vacat omnia sigillatim ac subtilius addiscere, illis divina hæc, quibusque tantum animus informatur, præcepta fidei manu tradi; aliis vero licere præterea ipsas quoque vestigare rationes, et eorum quæ asseruntur docenturque demonstrationes inda-

10 Ἀλλὰ γὰρ ἐν ὀλίγῳ τούτων ἡμῖν οὐκ εἰς ἄχρηστον
προγεγυμνασμένων, ἀνίωμεν ἐπὶ τὴν πρώτην κατηγο-
ρίαν, καὶ τίνες ὄντες, καὶ πόθεν ὁρμώμενοι, τοῖς διερω-
τῶσιν ἀποκρινούμεθα. Ὅτι μὲν οὖν τὸ γένος Ἕλληνες
ὄντες, καὶ τὰ Ἑλλήνων φρονοῦντες, ἐκ παντοίων τε b
ἐθνῶν ὡς ἂν νεολέκτου στρατιᾶς λογάδες συνειλεγμένοι
τῆς πατρίου δεισιδαιμονίας ἀποστάται καθεστήκαμεν,
οὐδ᾽ ἂν αὐτοί ποτε ἀρνηθείημεν· ἀλλὰ καὶ ὅτι ταῖς
Ἰουδαϊκαῖς βίβλοις προσανέχοντες, κἀκ τῶν παρ᾽ αὐτοῖς
προφητειῶν τὰ πλεῖστα τοῦ καθ᾽ ἡμᾶς λόγου συνάγον-
τες, οὐκ ἔθ᾽ ὁμοίως ζῆν τοῖς ἐκ περιτομῆς προσφιλὲς
11 ἡγούμεθα, καὶ τοῦτ᾽ ἂν αὐτόθεν ὁμολογήσαιμεν. Ὥρα
τοιγαροῦν τούτων τὸν αἰτιολογισμὸν ὑποσχεῖν. Πῶς
οὖν ἂν ἄλλως δόξαιμεν εὖ πεποιηκέναι τὰ πάτρια κατα- c
λείψαντες, ἢ πρῶτον εἰς μέσον αὐτὰ παραθέμενοι, καὶ

a 7. προγεγυμνασμένων] γεγυμν. A.H. 10. διερωτήσασιν ἀποκρινόμεθα] διερωτῶσιν ἀποκρινούμεθα A.H.V. et γρ. S. Tum sequitur titulus in C. Ἀπόκρισις πρὸς τοὺς κατηγόρους ἡμῶν. b 2. στρατιᾶς] στρατείας A. Supra νεόλεκτοι H. 4. οὐδ᾽ ἂν] ἂν om. H. 5. ταῖς Ἰουδαϊκαῖς—κἀκ τῶν—προφητειῶν] τῆς ἰουδαϊκοῖς—καὶ τῶν—προφητῶν C. καὶ τῶν G. βιβλίοις D. pro βίβλοις. 9. προσφιλὲς] προσφιλεῖς C.G. 10. ὁμολογήσαιμεν] ὁμολογήσωμεν C.D.G. 11. τούτων] τοῦτον C.D. αἰτιολογισμὸν] αἴτιον λογισμὸν A.H. ἀπολογισμὸν C.D.E.G.S. 12. οὖν ἂν] ἂν om. A.C.E.G.H. c. ἢ πρῶτον] εἰ μὴ πρῶτον A.H.

10 gare? Sed enim pauca hæc quasi prolusionis caussa nec sine utili-
tate præfati, ad primum accusationis caput aliquando redeamus, et
quinam simus, quasve sequuti antea vitæ rationes, iis qui utrumque
Qui qualesque Christiani.
ex nobis quærere solent, respondeamus. Nos igitur et genere
Græcos esse, et Græcorum olim sententias moresque complexos
fuisse, nunc autem ex universis nationibus, tanquam novissime con-
scripti exercitus selectos eximiosque milites congregatos a patria
superstitione defecisse, ne ipsi quidem negaverimus. Præterea
nobis, cum Judæorum literas approbemus, maximamque doctrinæ
nostræ partem ex eorum prophetiis colligamus, non idem tamen
amplius, quo circumcisionis defensores utuntur vitæ genus placere, id
11 vero sponte quoque ultroque fateamur. Nunc ergo tempus est
istorum omnium reddendi rationem. Quonam autem alio consequi
modo poterimus, ut ritus patrios jure ac merito deseruisse videamur,
quam si illos ipsos in medium producamus, et eorum qui hos in

ἀγαγόντες ὑπ' ὄψιν τῶν ἐντευξομένων; Οὕτω γὰρ ἂν γένοιτο φανερὰ καὶ τῆς εὐαγγελικῆς ἀποδείξεως ἡ θεία δύναμις, εἰ τοῖς πᾶσι πρὸ ὀφθαλμῶν τεθείη, τίνων καὶ

12 ὁποίων κακῶν τὴν ἴασιν εὐαγγελίζεται. Πῶς δ' ἂν τὸ εὔλογον τῆς τῶν Ἰουδαϊκῶν γραμμάτων μεταδιώξεως φανείη, μὴ οὐχὶ καὶ τῆς τούτων ἀρετῆς ἀποδειχθείσης; Τίνι τε λόγῳ τὰς παρ' αὐτοῖς γραφὰς ἀσπαζόμενοι τὸν ὅμοιον τοῦ βίου τρόπον ἀποκλίνομεν, καλῶς ἂν ἔχοι d

[12] διελθεῖν· καὶ ἐπὶ πᾶσι, τίς ὁ καθ' ἡμᾶς τῆς εὐαγγελικῆς ὑποθέσεως λόγος, καὶ τίς ἂν κυρίως λεχθείη ὁ Χριστιανισμὸς, οὔθ' Ἑλληνισμὸς ὤν, οὔτε Ἰουδαϊσμὸς, ἀλλά τις καινὴ καὶ ἀληθὴς θεοσοφία, ἐξ αὐτῆς τῆς προσηγο-

13 ρίας τὴν καινοτομίαν ἐπαγομένη. Φέρε οὖν [δὴ,] πρῶτον ἁπάντων τὰς παλαιοτάτας καὶ δὴ καὶ τὰς πατρίους ἡμῶν αὐτῶν θεολογίας κατὰ πᾶσαν πόλιν εἰσέτι καὶ νῦν τεθρυλημένας ἐπιθεωρήσωμεν, τάς τε σεμνὰς τῶν

c 5. εἰ τοῖς] εἰ τὶς D. 7. πῶς δ' ἂν] πῶς δαὶ A. πῶς δὲ τὸ C.E.G.H. 8. γραμμάτων] γραμμῶν D. d 6. θεοσοφία] σοφία C. 7. φέρε οὖν δὴ] φέρ' οὖν A.H. φέρε δὴ οὖν C.G. 8. παλαιοτάτας] παλαιτάτας C.D. 11. τεθρυλλημένας] τεθρυλημένας A. τεθρυλλημένων C.G. Tum ἐπιθεωρήσομεν D.

libros inciderint ob oculos ponamus? Sic enim Evangelicæ quoque demonstrationis vis illa divina clarius elucescet, si oculis omnes usurpare potuerint, quorum tandem et cujusmodi malorum ea medi-

12 cinam feliciter annuntiet. Quo pacto præterea nos magna cum ratione Judæorum literas persequutos esse constabit, nisi earum etiam vim atque auctoritatem ostendamus? Jam vero præclarum simul fuerit, quam ob caussam qui ipsorum monumenta complectamur, similem tamen vitæ consuetudinem repudiemus, ostendere. Ad extremum quæ nostra sit Evangelicæ doctrinæ ratio, quis item proprie Christianismus nominetur, quippe, qui neque Græcorum sit, neque Judæorum institutum, sed recens quædam veraque Dei sapientia, quæ vel ipso nomine professionis suæ novitatem præ se ferat.

13 Age itaque, vetustissimas adeoque illas ipsas quas a majoribus accepimus de deorum natura sententias, quæque in omnibus passim urbibus etiamnum jactari solent; unaque pergraves illas egregiorum philosophorum, de mundi ac deorum ipsorum origine, disputationes

γενναίων φιλοσόφων περί τε κόσμου συστάσεως καὶ
περὶ θεῶν διαλήψεις, ἵνα γνῶμεν εἴτε καὶ ὀρθῶς
14 ἀπέστημεν αὐτῶν, εἴτε καὶ μή. Θήσω δὲ οὐκ ἐμὰς p. 17
φωνὰς ἐν τῇ τῶν δηλουμένων ἐκφάνσει, ἀλλ' αὐτῶν δὴ
τῶν μάλιστα τὴν περὶ οὓς φασι θεοὺς εὐσέβειαν περι-
σπούδαστον πεποιημένων, ὡς ἂν ὁ λόγος ἁπάσης ἐκτὸς
τῆς περὶ τοῦ πλάττεσθαι ἡμᾶς ὑπονοίας καταστταίη.

6 Φοίνικας τοιγαροῦν καὶ Αἰγυπτίους πρώτους ἁπάν- b
των ἀνθρώπων κατέχει λόγος ἥλιον καὶ σελήνην καὶ
ἀστέρας θεοὺς ἀποφῆναι, μόνους τε εἶναι τῆς τῶν ὅλων
γενέσεώς τε καὶ φθορᾶς αἰτίους, εἶτα δὲ τὰς παρὰ τοῖς
πᾶσι βοωμένας θεοποιΐας τε καὶ θεογονίας εἰσηγήσασθαι
2 τῷ βίῳ· πρὸ δέ γε τούτων μηδένα μηδὲν πλέον τῶν κατ'
οὐρανὸν φαινομένων εἰδέναι, ὀλίγων ἐκτὸς ἀνδρῶν τῶν
παρ' Ἑβραίοις μνημονευομένων, οἳ διανοίας καθαρωτά- c
τοις ὄμμασι πᾶν τὸ ὁρώμενον ὑπερκύψαντες, τὸν κο-

d ult. καὶ μὴ] καὶ om. C.G.

p. 17. 2. ἐκφάνσει] ἐκφαύσει G. 3. περὶ οὓς] περὶ ἧς A. in textu, omisso θεούς. θεοὺς om. H. 4. πεποιηκότων] πεποιημένων A.C.D.G.H.S. 5. περὶ τοῦ] περὶ τὸ C.D.G. b 2. Φοίνικας] Φοίνικες A. in marg. 3. ἁπάντων] ἁπάντων ἀνθρώπων A.G.H. 4. θεοὺς] πρώτους A.H. 6. τε καὶ] τε om. A.H. 7. βοωμένας θεοποιΐας] βουλομένας θεοποιείας C. 10. ὀλίγων] ὀλίγον D. λόγον H. c. τῶν παρ'] τῶν om. C.G.

ante omnia contemplemur : sic enim intelligemus, jurene an secus
14 ab iisdem recesserimus. Verbis autem, in iis quæ abs me prodentur atque vulgabuntur, non meis utar, sed illorum, qui quos ipsi deos vocant, eorum cultum singulari ac præcipua contentione studioque defenderunt, ut ab omni fingendi calumniandique suspicione nostra hæc disputatio vindicetur.

6 Phœnices quidem et Ægyptios omnium principes soli, lunæ, ac stellis divinitatem tribuisse, vulgatum est, iisque solis rerum omnium ortus interitusque caussam assignasse; deinde vero quæ passim et ubique jactantur deorum tam molitiones quam procreationes in
2 hominum genus invexisse: saltem ante illos, supra res eas quæ in cœlo videri solent, intelligentia vel tantillum progressum esse neminem; si tamen paucos aliquot excipias, quorum apud Hebræos memoria celebratur, qui totum id quod visu percipitur, longe purissimo mentis oculo superantes, ipsum mundi effectorem, ac rerum

σμοποιὸν καὶ τῶν ὅλων δημιουργὸν ἐσεβάσθησαν, ὑπερ-
θαυμάσαντες τῆς τοσαύτης αὐτὸν σοφίας τε καὶ δυνά-
μεως, ἣν ἐκ τῶν ἔργων ἐφαντάσθησαν, καὶ μόνον εἶναι
θεὸν πεισθέντες μόνον εἰκότως ἐθεολόγησαν, τὴν ἀληθῆ
καὶ πρώτην καὶ μόνην ταύτην εὐσέβειαν παῖς παρὰ
3 πατρὸς διαδεξάμενοι καὶ φυλάξαντες. Οἵ γε μὴν λοιποὶ
τῶν ἀνθρώπων τῆσδε τῆς μόνης καὶ ἀληθοῦς ἀποπε-
σόντες εὐσεβείας, τὰ φωσφόρα τῶν οὐρανίων σαρκὸς d
ὀφθαλμοῖς, οἷα νήπιοι τὰς ψυχὰς, καταπλαγέντες,
θεούς τε ἀνεῖπον, καὶ θυσίαις καὶ προσκυνήσεσιν ἐγέραι-
ρον, οὐ νεὼς δειμάμενοι, οὐδ' ἀφιδρύμασι καὶ ξοάνοις
θνητῶν εἰκόνας πλασάμενοι, πρὸς αἰθέρα δὲ καὶ αὐτὸν
οὐρανὸν ἀποβλέποντες, καὶ μέχρι τῶν τῇδε ὁρωμένων
4 ταῖς ψυχαῖς ἐφικνούμενοι. Ἀλλ' οὐ τῇδε ἄρα καὶ τοῖς
μετέπειτα ἀνθρώποις τὰ τῆς πολυθέου πλάνης περι-
ίστατο, ἐλαύνοντα δὲ εἰς βυθὸν κακῶν μείζονα τῆς

c 3. καὶ τὸν] καὶ τῶν C.D.G. 5. αὐτὸν om. A.H. 9. μόνην] μόνην ταύτην A.C.G.H.S. 10. δεξάμενοι G. 12. τῆς δὲ] τῆς γε C.D.G.
d 3. θυσίαις] θυσίαις τε A. θ. ται H. 11. περιΐστατο] περιίσταται C. περιίσθαται G. ἐλαύνοντα] ἤλαυνον A.H. Mox καὶ μείζονα H. Infra dat A. in marg. Αἰγύπτιοι et Ὀρφεὺς ὁ ὑάγρου et Κάδμος ὁ Ἀγήνορος.

omnium molitorem sancte pieque coluerunt, cum tantam illius sa-
pientiam atque potestatem, quam utcunque sibi ex operibus ipsis
animo et cogitatione fingebant, singulari quadam admiratione pro-
sequerentur: cumque unum illum Deum semel esse credidissent,
eundem quoque Deum unum, ut par erat, ita prædicarunt, ut veram
illam ac principem eandemque solam pietatem, quam a parentibus
3 acceperant, studiose liberi retinerent. At reliqua hominum multi-
tudo cum ab ejus unius veritate pietatis excidisset, ad cœli astrorum,
quæ corporeis oculis intuebatur, splendorem puerili mente obstu-
pescens, illa deos esse pronunciavit, iisdemque sacrificiorum et ado-
rationis cultum adhibuit, sic tamen, ut nec ipsis templa construeret,
nec eorum statuas atque simulachra mortalem ullam in speciem
effingeret, sed aspectum in æthera cœlumque ipsum omnino defigeret,
vimque mentis omnem rerum earum quæ in illo cernuntur finibus
4 terminaret. Verum enimvero, nequaquam hic stetit eorum qui
postea sequuti sunt hominum de multitudine deorum error, sed in
altam improbitatis voraginem actus, impietatem peperit ipso quoque

ἀθεότητος τὴν δυσσέβειαν ἀπειργάζετο, Φοινίκων, εἶτα Αἰγυπτίων ἀπαρξαμένων τῆς πλάνης· παρ' ὧν φασι πρῶτον Ὀρφέα τὸν Οἰάγρου μεταστησάμενον τὰ παρ' p. 18
Αἰγυπτίοις Ἕλλησι μεταδοῦναι μυστήρια, ὥσπερ οὖν καὶ Κάδμον τὰ Φοινικικὰ τοῖς αὐτοῖς ἀγαγεῖν μετὰ καὶ τῆς τῶν γραμμάτων μαθήσεως· οὔπω γὰρ εἰσέτι τοὺς Ἕλληνας τότε τὴν τῶν γραμμάτων χρῆσιν εἰδέναι.
5 Πρῶτα τοίνυν σκεψόμεθα τὰ τῆς κοσμογονίας τῆς πρώτης, ὅπως οἱ δηλούμενοι διειλήφασι· ἔπειτα τὰ περὶ τῆς πρώτης καὶ παλαιοτάτης τοῦ τῶν ἀνθρώπων βίου δεισιδαιμονίας· καὶ τρίτον, τὰ Φοινίκων· τέταρτον, τὰ Αἰγυπτίων· μεθ' ἃ πέμπτον, τὰ Ἑλλήνων διελόντες, πρότερον μὲν τὴν καὶ τούτων παλαιὰν καὶ μυθικωτέραν b
πλάνην ἐποπτεύσομεν, εἶτα δὲ τὴν σεμνοτέραν καὶ φυσικωτέραν δὴ περὶ θεῶν φιλοσοφίαν, καὶ μετὰ ταῦτα τὸν περὶ τῶν θαυμαστῶν χρηστηρίων λόγον ἐφοδεύσο-

p. 18. 3. τὰ Φοινικικὰ om. C. φοινικὰ G. 6. σκεψόμεθα] σκεψώμεθα D. 7. τὰ τῆς κοσμογονίας τῆς πρώτης] τὰ τῆς πρώτης κοσμ. A.H. 8. διειλήφασι] διειλήφεσαν A. διειλήφασαν H. mox om. τὰ A.H. 10. τοῦ τῶν] τῆς τῶν H. b. καὶ τούτων] ἐκ τούτων C.G. 2. ἐποπτεύσομεν] ἐποπτεύσωμεν C.D.E. ἐποπτεύομεν H. Mox ἐφοδεύσωμεν D. 3. φυσικωτέραν] μυθικωτέραν C.G.S. μυθικωτέραν ἔτι δὲ καὶ φυσ. ni fallor H. 5. θαυμαστῶν] θαυμάτων C. λόγον ἐφοδεύσομεν] ἐφοδεύσωμεν λόγον A. ἐφοδεύσομεν λόγον H. ἐφοδεύσωμεν E. λόγον κατίδωμεν C.G.

negatæ divinitatis scelere graviorem. Atque hujus erroris Phœnices ac paulo post Ægyptii auctores fuere. Primum enim ex iis Orpheum memorant Hyagri filium translata secum Ægyptiorum mysteria cum Græcis hominibus communicasse; Phœnicum autem religiones apud eosdem una cum ipsarum literarum disciplina Cadmum intulisse:
5 nec literarum eo adhuc tempore notum Græcis usum fuisse. Nos igitur in primis quæ ad primam illam mundi procreationem attinent eo plane modo spectabimus, quo vulgati laudatique a nobis scriptores de illa disputarunt: tum quæ de principe ac vetustissima generis humani superstitione prodiderunt: tertium vero locum iis quæ Phœnices, quartum iis quæ Ægyptii docuere tribuemus; quinto autem quæ Græcorum propria sunt ita dividemus, ut primum quidem priscum etiam illorum pluribusque fabulis implicatum errorem, deinde paulo graviorem magisque adeo cum ipsamet natura conjunctam philosophandi rationem contemplemur; tum vero de egre-

Quem ordinem servaturus sit Eusebius.

μεν· ἐφ' οἷς καὶ τὰ σεμνὰ τῆς γενναίας Ἑλλήνων
6 *φιλοσοφίας ἐπισκεψόμεθα. Τούτων δ' ἡμῖν διευκρινη-*
θέντων, ἐπὶ τὰ Ἑβραίων μεταβησόμεθα, τῶν δὴ πρώτων
[13] *καὶ ἀληθῶς Ἑβραίων, καὶ τῶν μετὰ ταῦτα τὴν Ἰου-*
δαίων λαχόντων προσηγορίαν. Ἐπὶ πᾶσι δὲ τούτοις, c
ὥσπερ ἐπισφράγισμα τῶν ὅλων, ἐποίσομεν τὰ ἡμέτερα.
7 *Ἀναγκαίως δὲ τῆς τούτων ἁπάντων μνημονεύσομεν*
ἱστορίας, ὡς ἂν διὰ τῆς τῶν ἑκασταχοῦ τεθαυμασμένων
παραθέσεως ὁ τῆς ἀληθείας ἔλεγχος ἀποδειχθῇ, ὁποίων
τε ἡμεῖς ἀποστάντες τὴν ὁποίαν εἱλόμεθα φανερὸν τοῖς
8 *ἐντυγχάνουσι γένηται. Ἀλλὰ γὰρ ἐπίωμεν ἐπὶ τὸ*
πρῶτον. Πόθεν δῆτα πιστωσόμεθα τὰς ἀποδείξεις;
Οὐ μὲν δὴ ἐκ τῶν παρ' ἡμῖν γραμμάτων, ὡς ἂν μὴ
δοκοῖμεν κεχαρισμένα πράττειν τῷ λόγῳ· μάρτυρες δὲ d

b 7. ἐπισκεψόμεθα] ἐπισκεψ$\overset{ο}{ώ}$μεθα A. ἐπισκεψώμεθα C.D.E. Ἑλλήνων γενναίας D. 9. μεταβησόμεθα] μεταβησώμεθα A.E. 10. καὶ μετὰ] καὶ τῶν μετὰ A.H.V. c 1. δὲ τούτοις] δὲ om. D. 2. ἐποίσομεν] ποιήσομεν A. ποιήσωμεν H. ἐποίσωμεν E. 3. μνημονεύσομεν] μνημονεύσωμεν E. 4. τῆς τῶν] τῆς om. H. 6. ἀποδειχθείη] ἀποδειχθῇ C.D.E.G. 7. τὴν ὁποίαν] τὴν om. C.G. 8. γένοιτο] γένηται C.D.E.G. ἐπίωμεν] ἀπιῶμεν A. ἀπίωμεν C.D.H. 10. ἡμῖν] ἡμῶν C.G. 11. δοκοῖμεν] δοκοίημεν A.H. d 1. παρέστων] παρέστωσαν A.H.

giis ipsorum oraculis disputationem persequamur: ad extremum
gravissima quæque præclaræ Græcorum philosophiæ momenta pon-
6 deremus. Jam ubi hæc omnia diligenter et enucleate discusserimus,
ad Hebræorum nos dogmata conferemus, eorum inquam Hebræo-
rum, qui primi ac vere hoc nomine censebantur, quique Judæorum
appellationem postea nacti sunt. Quibus omnibus nostrorum deni-
que rituum explicationem, sic tanquam sigillum aliquod imponemus.
7 Cæterum ad pertexendam istorum omnium historiam necessitate
quadam adducimur; ut iis quæ in qualibet religione primaria eximi-
aque videri solent, in omnium luce positis, ipsius veritatis ratio cla-
rius deprehendi certiusque possit, adeoque nemo non intelligat, qui
modo libros hosce legerit, cujusmodi sint cum ea quæ deseruimus,
8 tum illa veritas quam sequuti sumus. Sed enim ad primum caput
aliquando veniamus. Unde autem demonstrationum nostrarum
firmamenta repetemus? non utique nostris ex literis, ne doctrinæ
huic nostræ servire nimium, ac prolixius indulgere videamur. Eos

παρέστων ἡμῖν Ἑλλήνων αὐτῶν οἵ τε τὴν φιλοσοφίαν αὐχοῦντες, καὶ οἱ τὴν ἄλλην τῶν ἐθνῶν ἱστορίαν διηρευ-
9 νηκότες. Γράφει τοίνυν ἄνωθεν τὴν παλαιὰν Αἰγυπτίων ὑφηγούμενος θεολογίαν ὁ Σικελιώτης Διόδωρος, γνωριμώτατος ἀνὴρ τοῖς Ἑλλήνων λογιωτάτοις, ὡς ἂν ὑπὸ μίαν συναγηοχὼς πραγματείαν ἅπασαν τὴν ἱστορικὴν βιβλιοθήκην. Ἐξ οὗ πρῶτα παραθήσομαι, ἃ περὶ τῆς τοῦ παντὸς κοσμογονίας ἀρχόμενος τοῦ λόγου διείληφε, τὰς τῶν παλαιῶν ἱστορῶν δόξας τοῦτον τὸν τρόπον.

ΔΙΟΔΩΡΟΥ 7 Περὶ μὲν οὖν θεῶν τίνας ἐννοίας ἔσχον οἱ πρῶτοι κατα- p. 19
δείξαντες τιμᾶν τὸ θεῖον, καὶ περὶ τῶν μυθολογουμένων ἑκάστου τῶν ἀθανάτων, τὰ μὲν πολλὰ συντάξασθαι πειρασόμεθα κατ' ἰδίαν, διὰ τὸ τὴν ὑπόθεσιν ταύτην πολλοῦ λόγου b
προσδεῖσθαι· ὅσα δ' ἂν ταῖς προκειμέναις ἱστορίαις ἐοικότα

d 2. Ἑλλήνων αὐτῶν] Ἑλλήνων τε C.G. Tum οἵας τε τὴν φ. G. 3. καὶ τὴν] καὶ οἱ τὴν H. 5. ὑφηγούμενος θεολογίαν Αἰγυπτίων] Αἰγυπτίων ὑφ. θεολ. A.H. 6. γνωριμώτατος] γνωριμώτερος D. 8. τὴν ἱστορικὴν] τὴν om. C. 9. καὶ πρῶτα] καὶ om. A.C.E.G.H. παραθήσομαι] παραθησόμεθα C.G. 10. κοσμογονίας] κοσμογενίας C.D.G. 11. λόγου] κόσμου A.H. 12. ἱστορῶν] ἱστοριῶν C? D.G.
p. 19. 4. ἔσχον] εἶχον D. b 2. προσδεῖσθαι] προδεῖσθαι D.

ergo potius ex Græcis ipsis testes producamus, qui non modo philosophiæ nomine gloriantur, sed etiam qui cæterarum gentium historias
9 diligentius indagarunt. Ac Diodorus quidem Siculus, vir apud Græcæ eruditionis principes longe notissimus, quippe qui unum in corpus Bibliothecam historiarum universam compegerit, antiquam Ægyptiorum theologiam ab ipsomet arcessens capite prosequitur. Ex quo prima tantum illa subjiciam, quæ ipso statim operis initio veterum sententias commemorans de mundi ortu hunc in modum ipse disputavit.

Diod. Sic. I. 6. 7 De diis igitur, quas et cujusmodi notiones illi animis informarint, qui primi divini numinis cultum exemplo suo docuere, ac de singulis eorum, quibus immortalitatem fabulæ tribuerunt, dabimus operam, ut quoniam hoc argumentum ejusmodi est, quod longam orationem desideret, suo quæque loco seorsim plurima complectamur. Nunc vero, quæ cum iis quas præ manibus habemus historiis consentanea nobis et congruentia

ΔΙΟΔΩΡΟΥ

δόξωμεν ὑπάρχειν, παραθήσομεν ἐν κεφαλαίοις, ἵνα μηδὲν
2 τῶν ἀκοῆς ἀξίων ἐπιζητῆται. Περὶ δὲ τοῦ γένους τῶν ἁπάντων ἀνθρώπων, καὶ τῶν πραχθέντων ἐν τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης, ὡς ἂν ἐνδέχηται περὶ τῶν οὕτω παλαιῶν, ἀκριβῶς ἀναγράψομεν, ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων ἀρξάμενοι.

3 Περὶ τῆς πρώτης τοίνυν γενέσεως τῶν ἀνθρώπων διτταὶ c
γεγόνασιν ἀποφάνσεις παρὰ τοῖς νομιμωτάτοις τῶν τε φυσιολόγων καὶ τῶν ἱστορικῶν. Οἱ μὲν γὰρ αὐτῶν ἀγένητον καὶ ἄφθαρτον ὑποστησάμενοι τὸν κόσμον ἀπεφήναντο καὶ τὸ γένος τῶν ἀνθρώπων ἐξ αἰῶνος ὑπάρχειν, μηδέποτε τῆς αὐτῶν τεκνώσεως ἀρχὴν ἐσχηκυίας· οἱ δὲ γενητὸν καὶ φθαρτὸν εἶναι νομίσαντες ἔφησαν ὁμοίως ἐκείνοις τοὺς ἀνθρώπους τυχεῖν τῆς πρώτης γενέσεως ὡρισμένοις χρόνοις.
4 Κατὰ γὰρ τὴν ἐξ ἀρχῆς τῶν ὅλων σύστασιν μίαν ἔχειν ἰδέαν d
οὐρανόν τε καὶ γῆν, μεμιγμένης αὐτῶν τῆς φύσεως· μετὰ δὲ ταῦτα διαστάντων τῶν σωμάτων ἀπ᾽ ἀλλήλων, τὸν μὲν κόσμον περιλαβεῖν πᾶσαν τὴν ὁρωμένην ἐν αὐτῷ σύνταξιν,

b 4. κεφαλαίοις] κεφαλαίῳ A.H. 5. ἀκοῆς] ἀποῶν C.G. Tum ἐπιζητῆσαι E. 8. περὶ] τὰ περὶ A.H. 9. ἀναγράψομεν] ἀναγράψομαι B.C.D.G. ἀναγράψωμεν E. Mox ἀρξάμενος C.G. c 2. ἀποφάνσεις] ἀποφάσεις B.C.D.G. Mox A. in marg. Ἑλλήνων δόξα περὶ γενέσεως τοῦδε τοῦ ἐνύλου κόσμου. 4. αὐτῶν ἀγένητον] αὐτὸν ἀγένητον D. 8. ἄφθαρτον] φθαρτὸν B.C.E.G.H. 9. τοὺς ἀνθρώπους om. B. d. κατὰ γὰρ] γὰρ om. C.G. 6. ἐν αὐτῷ] ἐν ἑαυτῷ B.C.G. ἐν om. A.H.

videbuntur, summatim hic ea subjiciemus, ne quid omnino quod scitu
2 dignum sit requiratur. Ac de universo quidem hominum genere, omnibusque rebus, quæ in cognitis orbis terrarum partibus gestæ sunt, quam in tanta vetustate fieri accuratissime poterit, narrationem instituemus,
3 eamque ab ultima sæculorum memoria repetemus. Igitur de primo hominum ortu, apud æquissimos ac probatissimos rerum naturalium historiarumque scriptores, sententiæ fuerunt omnino duæ. Qui enim ex iis nec mundi ortum ullum fuisse, nec interitum futurum esse posuerunt, ii sempiternum quoque genus hominum esse, nec ullo unquam tempore illorum procreationem cœpisse voluerunt. Qui vero generatum eundem atque occasurum putaverunt, ii perinde atque ipsius, hominum etiam generationem certo quodam tempore principium habuisse defenderunt.
4 Quippe cum hujus primum universi coagmentatio fieret, unam aliquam cœli et terræ ex permixta confusaque amborum natura formam extitisse; deinde vero simulatque corporum distinctio successisset, continuo mundum quidem, totum hunc quem videmus partium ordinem accepisse,

De hominum ortu sententiæ duæ.

c. 7 Veterum de universi molitione opinio.

ΔΙΟΔΩΡΟΥ

τὸν δ' ἀέρα κινήσεως τυχεῖν συνεχοῦς· καὶ τὸ μὲν πυρῶδες αὐτοῦ πρὸς τοὺς μετεωροτάτους τόπους συνδραμεῖν, ἀνωφεροῦς οὔσης τῆς τοιαύτης φύσεως διὰ τὴν κουφότητα· ἀφ' ἧς αἰτίας τὸν μὲν ἥλιον καὶ τὸ λοιπὸν πλῆθος τῶν ἄστρων ἐναποληφθῆναι τῇ πάσῃ δίνῃ· τὸ δὲ ἰλυῶδες καὶ θολερὸν μετὰ τῆς τῶν ὑγρῶν συγκρίσεως ἐπὶ ταὐτὸ καταστῆναι διὰ τὸ βάρος· εἰλούμενον δ' ἐν ἑαυτῷ καὶ συστρεφόμενον συνεχῶς, ἐκ μὲν τῶν ὑγρῶν τὴν θάλατταν, ἐκ δὲ τῶν στερεμνιω- p. 20
τέρων ποιῆσαι τὴν γῆν πηλώδη καὶ παντελῶς ἁπαλήν. Ταύτην δὲ τὸ μὲν πρῶτον τοῦ περὶ τὸν ἥλιον πυρὸς καταλάμψαντος πῆξιν λαβεῖν, ἔπειτα διὰ τὴν θερμασίαν ἀναζυμουμένης τῆς ἐπιφανείας συνοιδῆσαί τινα τῶν ὑγρῶν κατὰ πολ-
[14] λοὺς τόπους, καὶ γενέσθαι περὶ αὐτὰ σηπεδόνας ὑμέσι λεπτοῖς περιεχομένας, ὅπερ ἐν τοῖς ἕλεσι καὶ τοῖς λιμνάζουσι τῶν τόπων ἔτι καὶ νῦν ὁρᾶσθαι γινόμενον, ἐπειδὰν τῆς χώρας κατεψυγμένης ἄφνω διάπυρος ἀὴρ γένηται, μὴ λαβὼν τὴν b

d 9. συναναδραμεῖν] συνδραμεῖν A.H. cum Med. ἀναδραμεῖν B.C.E.G. Tum ἀνωφερὲς γὰρ τὸ πῦρ H. 11. λοιπὸν πλῆθος] λοιπὸν om. B.C.G. 12. ἐναποληφθῆναι] ἀπολειφθῆναι A.H. ἐναπολειφ. B.C.E. Vigeri marg. 13. ἰλυῶδες] ἠλιῶδες D. μετὰ—συγκρίσεως om. A.H. τῆς συγκ. τῶν ὑ. B.E.G. συγκράσεως Vigeri marg. pro συγκρίσεως. 14. ταυτὸ] ταυτὸν A. 15. ἑαυτῷ] αὐτῷ A.H. ult. θάλασσαν] θάλατταν A.

p. 20. 1. στερεμνωτέρων] στερεμνιωτέρων A.D.E.H. στερεμνοτέρων C. 5. ἀναζεομένης] ἀναζυμουμένης B.G. ἀναζημουμένης C. 7. αὐτὰ] αὐτὰς C. 8. περιεχομένας] περιεχομένους A.H. ὅπερ ἐστὶν ἐν] ὅπερ ἐν τοῖς B.C. D.E.G. 10. κατεψωμένης E. b. μὴ λαβὼν] καὶ λ. A.H.V. γρ. S.

aërem vero continenti motu agitari cœpisse; ita tamen ut pars ejus ignea supremam in regionem evolaret, quod ipsius natura sursum ingenita levitate ferretur; (atque hanc esse caussam, quamobrem sol ipse ac reliqua siderum multitudo incitatissimæ circumvectionis impetu rapiatur;) quod autem cœnosum ac turbidum erat, id ex humidi conjunctione concretum, unum in locum ob insitam gravitatem subsideret? Illud porro cum in se ipsum perpetua conversione volveretur, ex humidis sui partibus mare, ex solidioribus vero terram lutosam admodumque teneram mollemque procreasse: quæ principio quidem igneo solis irradiantis afflatu compacta sensim ac stipata constiterit; deinde, cum extima superficies vi caloris effervesceret, partes ejus quædam humidiores variis subinde locis intumuerint, quibus inclusa materies putrida, membranisque tenuissimis involuta foveretur: id quod in stagnis etiamnum, locisque palustribus fieri videmus, si quando posteaquam solum refrixerit, æstu repentino aër incalescat, neque paulatim mutationem ejusmodi patiatur.

ΔΙΟΔΩΡΟΥ

6 μεταβολὴν ἐκ τοῦ κατ' ὀλίγον. Ζωογονουμένων δὲ τῶν
ὑγρῶν διὰ τῆς θερμασίας τὸν εἰρημένον τρόπον, τὰς μὲν
νύκτας λαμβάνειν αὐτίκα τὴν τροφὴν ἐκ τῆς πιπτούσης ἀπὸ
τοῦ περιέχοντος ὁμίχλης, τὰς δ' ἡμέρας ὑπὸ τοῦ καύματος
στερεοῦσθαι· τὸ δὲ ἔσχατον, τῶν κυοφορουμένων τὴν τελείαν
αὔξησιν λαβόντων, καὶ τῶν ὑμένων διακαυθέντων τε καὶ
7 περιρραγέντων, ἀναφυῆναι παντοδαποὺς τύπους ζώων. Τού-
των δὲ τὰ μὲν πλείστης θερμασίας κεκοινωνηκότα πρὸς τοὺς c
μετεώρους τόπους ἀπελθεῖν γενόμενα πτηνὰ, τὰ δὲ γεώδους
ἀντεχόμενα συγκρίσεως ἐν τῇ τῶν ἑρπετῶν καὶ τῇ τῶν ἄλλων
τῶν ἐπιγείων τάξει καταριθμηθῆναι, τὰ δὲ φύσεως ὑγρᾶς
μάλιστα μετειληφότα πρὸς τὸν ὁμογενῆ τόπον συνδραμεῖν,
8 ὀνομασθέντα πλωτά. Τὴν δὲ γῆν ἀεὶ μᾶλλον στερεουμένην
ὑπό τε τοῦ περὶ τὸν ἥλιον πυρὸς καὶ τῶν πνευμάτων τὸ
τελευταῖον μηκέτι δύνασθαι μηδὲν τῶν μειζόνων ζωογονεῖν,
ἀλλ' ἐκ τῆς πρὸς ἄλληλα μίξεως ἕκαστα γεννᾶσθαι τῶν d
9 ἐμψύχων. Ἔοικε δὲ περὶ τῆς τῶν ὅλων φύσεως οὐδ' Εὐρι-
πίδης διαφωνεῖν τοῖς προειρημένοις, μαθητὴς ὢν Ἀναξαγόρου
τοῦ φυσικοῦ. Ἐν γὰρ τῇ Μεναλίππῃ τίθησιν οὕτως,

b 3. δὲ τῶν] δὲ om. A.H. 5. πιπτούσης om. B. 6. ὁμίχλης] ἀέρος H. qui mox ἀπὸ τοῦ. 9. λαμβανόντων] λαβόντων A.H. c 4. τῇ τῶν] τῇ om. A.H. 5. καταριθμηθῆναι] κατηριθμήθησαν H. 6. μετειληχότα] μετειληφότα A.H.V. γρ. S. 8. γῆν] τοῦ B. ὑπό τε] τε om. A.H. 10. τὸ τελ.] τὸ δὲ τελ. H. d 4. τοῦ φυσικοῦ om. C.

6 Itaque cum humidiores illæ partes hunc in modum vitalem pariendi vim
ex calore prolemque conciperent, eas noctu quidem ex decidente ab aëre
circumfuso nebula nutrimentum, interdiu vero robur ex calore ac firmita-
tem accepisse: donec ipsi fœtus justum incrementum suamque maturi-
tatem obtinerent, ruptisque demum æstu membranis, animantium omnis
7 generis formæ nascerentur. Ex his autem quæ majorem nactæ calorem
essent, eas pennis instructas altiores in mundi plagas subvolasse: in
quibus vero terrena concretio dominaretur, illas reptilium ac cæterarum,
quæ in terra versantur, animantium ordine ac numero comprehensas
fuisse: quotquot denique humida maxime natura constarent, eas in cogna-
tum sibi affinemque locum omnes confluxisse, piscium nomine appellatas.
8 Ad extremum vero terram, cum majorem in dies solidioremque duritiem
partim ex solis ardentiori calore, partim ex ventorum flatu capiat, nullam
per sese amplius ex grandioribus animantibus procreare posse, sed earum
9 quamlibet ex mutua marium ac fœminarum commixtione generari. Neque
discrepantem ab iis quæ adhuc commemoravimus, Euripidis, qui Anaxa-
goram physicum audierat, de hujus universi ortu mentem fuisse putaverim.
Is enim sic in Menalippe scribit,

ΔΙΟΔΩΡΟΥ

Ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία·
ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα
τίκτουσι πάντα, κἀνέδωκαν εἰς φάος
δένδρη, πετεινὰ, θῆρας, οὓς θ' ἅλμη τρέφει,
γένος τε θνητῶν.

10 Καὶ περὶ μὲν τῆς πρώτης τῶν ὅλων γενέσεως τοιαῦτα παρειλήφαμεν. Τοὺς δὲ ἐξ ἀρχῆς γεννηθέντας τῶν ἀνθρώπων φασὶν ἐν ἀτάκτῳ καὶ θηριώδει βίῳ καθεστῶτας σποράδην ἐπὶ τὰς νομὰς ἐξιέναι, καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεστάτην, καὶ τοὺς αὐτομάτους ἀπὸ τῶν δένδρων καρ- p. 21 πούς· καὶ πολεμουμένους μὲν ὑπὸ τῶν θηρίων ἀλλήλοις βοηθεῖν ὑπὸ τοῦ συμφέροντος διδασκομένους, ἀθροιζομένους δὲ διὰ τὸν φόβον ἐπιγινώσκειν ἐκ τοῦ κατὰ μικρὸν τοὺς
11 ἀλλήλων τύπους· τῆς φωνῆς δὲ ἀσήμου καὶ συγκεχυμένης ὑπαρχούσης, ἐκ τοῦ κατ' ὀλίγον διαρθροῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλους τιθέντας σύμβολα περὶ ἑκάστου τῶν ὑποκειμένων γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ ἁπάντων
12 ἑρμηνείαν. Τοιούτων δὲ συστημάτων γινομένων καθ' ἅπασαν

d 6. ὡς om. A.H. qui mox *τῇ μόρφῃ μίᾳ.* 9. *πτηνὰ*] *πετεινὰ* B.C. E G. *πετηνὰ* H. *πτεινὰ* D. *δένδρη* item G. pro *δένδρα.* *οὓς θ'*] *θ'* om. A.H. 11. *τῆς πρώτης*] *τῆς πρωτούτων* D. 12. *ταῦτα*] *τοιαῦτα* A.B. *τοῦ βίου* ni fallor H. Tum *τοὺς δὲ ἐξ—ἑρμηνείαν* om. B. 14. *καθεστῶτας*] *καθ' ἕκαστον* A.H. ult *ἀπὸ τῶν*] *ὑπὸ τῶν* D. qui paullo infra *ἐπὶ τῶν.*
p. 21. 3. *διδασκομένους· ἀθροιζομένους δὲ*] *διδασκομένους τε* A.H.

Cœli unus ante vultus ac terræ fuit,
At proprius ex quo utrumque disclusit locus,
Cuncta ambo generant, inque lucem efferunt
Sylvas, volucres, ac feras; tum quos salum
Nutrit, hominumque genus.

c. 8

Hominum genus quemadmodum paulatim expolitum putarent.

10 Atque hæc de prima mundi procreatione a majoribus accepimus. Porro, qui principes omnium nati homines erant, eos sine ordine ac ferino plane ritu victitantes, hucque dissipatos atque illuc ad pascua exiisse, ac si quid teneriorum et mitiorum herbarum esset, cum sponte nascentibus arborum fructibus comedisse ferunt. Cum autem eos feræ persequerentur, utilitate magistra mutuam sibi opem tulisse, metuque simul con-
11 gregatos, alterius alterum paulatim formam agnovisse: cumque vocem illi confusam primum et ab omni significatione vacuam effunderent, singulis paulatim vocibus articulate proferendis, signisque rerum quæ occurrebant inter sese constitutis, notam eorum sibi omnium explicationem
12 interpretationemque fecisse. Jam vero quod cœtus ejusmodi toto passim orbe conflarentur, singulique voces, pro ut cuique temere ac fortuito visum erat, componerent, non eandem idcirco loquendi rationem cum uni-

ΔΙΟΔΩΡΟΥ

τὴν οἰκουμένην, οὐχ ὁμόφωνον πάντας ἔχειν τὴν διάλεκτον, b ἑκάστων ὡς ἔτυχεν συνταξάντων τὰς λέξεις· διὸ καὶ παντοίους τε ὑπάρξαι χαρακτῆρας διαλέκτων, καὶ τὰ πρῶτα γενόμενα συστήματα τῶν ἁπάντων ἐθνῶν ἀρχέγονα γενέσθαι.

13 Τοὺς οὖν πρώτους τῶν ἀνθρώπων μηδὲν τῶν πρὸς τὸν βίον χρησίμων εὑρημένων ἐπιπόνως διάγειν, γυμνοὺς μὲν ἐσθῆτος ὄντας, οἰκήσεως δὲ καὶ πυρὸς ἀήθεις, τροφῆς δ' ἡμέρου παν- c τελῶς ἀνεννοήτους. Καὶ γὰρ τὴν συγκομιδὴν τῆς ἀγρίας τροφῆς ἀγνοοῦντας μηδεμίαν τῶν καρπῶν εἰς τὰς ἐνδείας ποιεῖσθαι παράθεσιν· διὸ καὶ πολλοὺς αὐτῶν ἀπόλλυσθαι κατὰ τοὺς χειμῶνας διά τε τὸ ψῦχος καὶ τὴν σπάνιν τῆς

14 τροφῆς. Ἐκ δὲ τούτου κατ' ὀλίγον ὑπὸ τῆς πείρας διδασκομένους εἴς τε τὰ σπήλαια καταφεύγειν ἐν τῷ χειμῶνι, καὶ τῶν καρπῶν τοὺς φυλάττεσθαι δυναμένους ἀποτίθεσθαι. Γνωσθέντος δὲ τοῦ πυρὸς καὶ τῶν ἄλλων χρησίμων κατὰ d μικρὸν καὶ τὰς τέχνας ἐξευρεθῆναι, καὶ τὰ ἄλλα τὰ δυνάμενα

15 τὸν κοινὸν βίον ὠφελῆσαι. Καθόλου γὰρ πάντων τὴν

b 2. ἑκάστων] ἑκάστου B. 7. μηδενός πω τῶν] μηδὲν ἐς των [τα] (sic) A. μηδενὸς πω πρὸς B.E. μηδέν πω C.F. 8. εὑρημένων] εὑρημένων [ους] A. εὑρημένου Vigeri margo, cum Diodori edd. cujus MSS. præbent εὑρημένων. 10. ὑήσεως] οἰκήσεως A. ἡμέρου—ἀγνοοῦντας om. F. c. ἀνεννοήτους] ὠνενοήτους C. qui mox ἀγνοοῦντες. 3. τῶν καρπῶν] τοῦ καρ [π] B. 6. τῆς τροφῆς] τῶν τροφῶν D. ἐκ δὲ] δὲ om. A. 10. ἀποτίθεσθαι] ὑποτ. [α] D. d. χρησίμων κατὰ μικρὸν] τὸ χρήσιμον καταμικρὸν A. Tum καὶ om. B. 2. ἐξευρεθῆναι] ἐξευρηθῆναι A.

versis communem fuisse. Atque hinc formæ linguarum multiplices, primæque illæ hominum societates omnium parentes et capita gentium ex-

13 titerunt. Cæterum quod nihil adhuc eorum, quæ conservandæ ac tuendæ vitæ serviunt, excogitatum esset, illam ægre admodum primi isti homines tolerabant, quippe qui et a vestibus imparati, nec domiciliorum aut ignis usum edocti, et victus alimentique mitioris prorsus ignari essent. Etenim cum ipsi nondum comportandæ ex agris annonæ rationem tenerent, nihil omnino fructuum levandæ quondam inopiæ gratia recondebant. Itaque plurimi per hyemem cum asperitate frigoris, tum ciborum penuria passim

14 interibant. Verum ubi paulatim usu ipso cautiores evasissent, in speluncas hyemis tempore confugere, quique asservari diutius poterant fructus reponere cœperunt. Ignis autem aliarumque commoditatum utilitate perspecta, ipsas quoque paulatim artes ac cætera, quorum ex opportunitate plurimum ad communem vitam emolumenti redundaret, invenerunt.

15 Enimvero ipsa primum inopia sese omnium omnino rerum magistram

ΔΙΟΔΩΡΟΥ

χρείαν αὐτὴν διδάσκαλον γενέσθαι τοῖς ἀνθρώποις, ὑφηγουμένην οἰκείως τὴν ἑκάστου μάθησιν εὐφυεῖ ζώῳ, καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας, καὶ λόγον, καὶ ψυχῆς
[15] ἀγχίνοιαν. Καὶ περὶ μὲν τῆς πρώτης γενέσεως τῶν ἀνθρώπων καὶ τοῦ παλαιοτάτου βίου τοῖς ῥηθεῖσιν ἀρκεσθησόμεθα, στοχαζόμενοι τῆς συμμετρίας.

16 Τοσαῦτα μὲν ὁ δηλωθεὶς συγγραφεύς, οὐδὲ μέχρις ὀνόματος τοῦ Θεοῦ μνημονεύσας ἐν τῇ κοσμογενείᾳ, συντυχικὴν δέ τινα καὶ αὐτόματον εἰσηγησάμενος τὴν τοῦ παντὸς διακόσμησιν. Τούτῳ δ᾽ ἂν εὕροις συμφώνους καὶ τοὺς πλείστους τῶν παρ᾽ Ἕλλησι φιλοσόφων, ὧν ἐγώ σοι τὰς περὶ ἀρχῶν δόξας καὶ τὰς πρὸς ἀλλή- p. 22
λους διαστάσεις καὶ διαφωνίας, ἐκ στοχασμῶν ἀλλ᾽ οὐκ ἀπὸ καταλήψεως ὁρμηθείσας, ἀπὸ τῶν Πλουτάρχου Στρωματέων ἐπὶ τοῦ παρόντος ἐκθήσομαι. Σὺ δὲ μὴ παρέργως σχολῇ δὲ καὶ μετὰ λογισμοῦ θέα τῶν δηλουμένων τὴν πρὸς ἀλλήλους διάστασιν.

d 4. διδάσκαλον γενέσθαι] γενέσθαι διδάσκαλον A. 6. συνεργοὺς] συνεργὸν B. qui mox pergit, πρὸς ἅπαντα τὴν χρείαν αὐτήν. καὶ περὶ μὲν etc. 8. καὶ ψυχῆς] καὶ ψυχὴν καὶ A. 13. κοσμογονίᾳ] κοσμογενεία A. Vide indicem Theodoreti Therap. in v.

p. 22. 2. διαφωνίας] διαφορὰς B. ἀλλ᾽ οὐκ ἀπὸ τῆς καταλήψεως om. B. 7. τῶν δηλουμένων non in fine sent. sed ante τὴν πρὸς A.

hominibus præbuit; cum uniuscujusque notitiam animali optime a natura comparato, quodque non tantum administris ad omnia manibus utebatur, sed etiam ratione valebat animique solertia, familiariter suggereret. Atque hæc, nobis præsertim qui mediocritati studeamus, de primo hominum ortu, deque vivendi ritu vetustissimo, satis erunt.

Hactenus laudatus a nobis auctor, qui in ista sua mundi procreatione commemoranda, ne Dei quidem vel nomine tenus meminit, sed fortuitam quandam ac sponte oblatam hujus universi dispositionem invexit. Eadem vero Græcos philosophos partem sane maximam videas prodidisse. Quorum equidem in præsentia de rerum principiis opiniones ac dissensiones mutuas, ex iis quos Stromata Plutarchus inscripsit, tibi ante oculos ponam, easque non ex certa quadam et comprehensa animo cognitione, sed ex conjecturarum nescio qua probabilitate profectas. Tu autem non dicis caussa, sed otiose adhibitoque judicio, eorum qui abs me commemorantur dissidia tecum ipse contemplare.

ΠΛΟΥΤΑΡΧΟΥ

8 Θάλητα πρῶτον πάντων φασὶν ἀρχὴν τῶν ὅλων ὑποστήσασθαι b τὸ ὕδωρ· ἐξ αὐτοῦ γὰρ εἶναι τὰ πάντα, καὶ εἰς αὐτὸ χωρεῖν.

2 Μεθ' ὃν Ἀναξίμανδρον, Θάλητος ἑταῖρον γενόμενον, τὸ ἄπειρον φάναι τὴν πᾶσαν αἰτίαν ἔχειν τῆς τοῦ παντὸς γενέσεώς τε καὶ φθορᾶς, ἐξ οὗ δή φησι τούς τε οὐρανοὺς ἀποκεκρίσθαι, καὶ καθόλου τοὺς ἅπαντας ἀπείρους ὄντας κόσμους. Ἀπεφήνατο δὲ τὴν φθορὰν γίνεσθαι, καὶ πολὺ πρότερον τὴν γένεσιν, ἐξ ἀπείρου αἰῶνος ἀνακυκλουμένων πάντων c αὐτῶν. Ὑπάρχειν δέ φησι τῷ μὲν σχήματι τὴν γῆν κυλινδροειδῆ, ἔχειν δὲ τοσοῦτον βάθος, ὅσον ἂν εἴη τρίτον πρὸς τὸ πλάτος. Φησὶ δὲ τὸ ἐκ τοῦ ἀϊδίου γόνιμον θερμοῦ τε καὶ ψυχροῦ, κατὰ τὴν γένεσιν τοῦδε τοῦ κόσμου ἀποκριθῆναι, καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφῦναι τῷ περὶ τὴν γῆν ἀέρι, ὡς τῷ δένδρῳ φλοιόν. Ἧς τινος ἀπορραγείσης, καὶ εἴς τινας ἀποκλεισθείσης κύκλους, ὑποστῆναι τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας. Ἔτι φησίν, ὅτι d κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζώων ὁ ἄνθρωπος ἐγεννήθη· ἐκ τοῦ τὰ μὲν ἄλλα δι' ἑαυτῶν ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρω-

b 4. Ἀναξιμένους et Ξενοφάνους A. 5. ἑταῖρον] ἕτερον [αι] A. 7. δή φησι] δὴ om. D. c 4. τρίτον om. F.G. 5. τὸ ἐκ τοῦ] τοῦ ἐκ τοῦ C. 8. περιφῆναι] περιφῦναι Wyttenbach. περιφυῆναι Steph. et MSS. περιφῦναι Vigerus in corrigendis. d. κατ' ἀρχὰς om. A. 3. ἑαυτῶν] αὐτῶν A.

Plutarch. ed. Wyttenbach. T. v. p. 495—746.

Thales quid senserit.

Quid Anaximander.

8 Thaletem ferunt ante cæteros omnes, hujus universitatis principium aquam posuisse, quod ex ea cuncta prodiisse, ac rursus in eandem dis-
2 solvi arbitraretur. Hunc sequutus Anaximander qui ejusdem Thaletis consuetudine ac familiaritate usus erat, caussam omnium omnino rerum uni duntaxat infinito assignandam esse docuit; ex eo quippe cum cœlestes orbes, tum infinitos plane mundos eductos ac secretos esse dicebat. Corruptionem autem, multoque ante generationem ipsam ex eo fieri asserebat, quod mundi isti omnes ab immenso quodam ævo perpetua conversione volverentur. Terram vero figura cylindrum imitari, ejusque altitudinis esse, quæ si cum latitudine conferatur, tertiam illius partem constituat. Cæterum fœcundas atque genitales calidi frigidique partes, circa mundi hujus procreationem ab omni æternitate sepositas fuisse pronuntiabat, ex quibus conflata sphæra quædam ignea circumfusum terræ aërem veluti cortex arborem involveret. Ea disrupta cum esset, ac circulis quibusdam interclusa, solem inde et lunam, ac stellas extitisse. Præterea hominem ex diversæ formæ animantibus initio genitum esse defendebat: nam cum cæteræ per se ipsas continuo pastum capessant, tum certe hominem, qui perdiu lacte operaque nutricis indigeat, nunquam alias, si ejusmodi foret,

ΠΛΟΥΤΑΡΧΟΥ

τον πολυχρονίου δεῖσθαι τιθηνήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἄν ποτε τοιοῦτον ὄντα διασωθῆναι. Ταῦτα μὲν οὖν ὁ Ἀναξίμανδρος.

3 Ἀναξιμένην δέ φασι τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μὲν γένει ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον· γεννᾶσθαί τε πάντα κατά τινα πύκνωσιν τούτου καὶ πάλιν ἀραίωσιν. Τήν γε μὴν κίνησιν ἐξ αἰῶνος ὑπάρχειν· πιλουμένου δὲ τοῦ ἀέρος, πρώτην γεγενῆσθαι λέγειν τὴν γῆν, πλατεῖαν μάλα· διὸ καὶ κατὰ λόγον αὐτὴν ἐποχεῖσθαι τῷ ἀέρι· καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὴν ἀρχὴν τῆς γενέσεως ἔχειν ἐκ γῆς. Ἀπο- p. 23
φαίνεται γοῦν τὸν ἥλιον γῆν, διὰ δὲ τὴν ὀξεῖαν κίνησιν καὶ μάλ' ἱκανῶς θερμοτάτην κίνησιν λαβεῖν.

4 Ξενοφάνης δὲ ὁ Κολοφώνιος, ἰδίαν τινὰ ὁδὸν πεπορευμένος καὶ παρηλλαχυῖαν πάντας τοὺς προειρημένους, οὔτε γένεσιν οὔτε φθορὰν ἀπολείπει, ἀλλ' εἶναι λέγει τὸ πᾶν ἀεὶ ὅμοιον. Εἰ γὰρ γίγνοιτο τοῦτο, φησὶν, ἀναγκαῖον πρὸ τούτου μὴ εἶναι· τὸ μὴ ὂν δὲ οὐκ ἂν γένοιτο, οὐδ' ἂν τὸ μὴ

d 10. γεννᾶσθαι δὲ] γεννᾶσθαί τε A.B.C.D.G. γ. περὶ F. 13. πιλουμένου] ἀπλουμένου A. πρώτην] πρῶτον F. γεγενῆσθαι] γενέσθαι B.E. 14. λέγει pro λέγειν D.F. μάλα] μᾶλλον B.C.F.G. 15. ἀέρι] τῷ ἀέρι B.C.D.E.F.G.

p. 23. ἐκ γῆς ἔχειν] ἔχειν ἐκ γῆς A. 3. θερμοτάτην] θερμότητα[τος] D. Pro ἱκανῶς Toupius malit εἰκότως. 8. ἀεὶ ὅμοιον] ἀνόμοιον A. ἀεὶ om. D. γίνοιτο] γίγνοιτο A.B.C.F.G. 10. γένοιτο] γένοιτο θεοῦ A.

Quid Anaximenes.

3 eo tempore salvum esse potuisse. Hæc Anaximander. Anaximenem autem aiunt, rerum omnium principium aërem statuisse, qui genere quidem ipso infinitus esset, at certis qualitatibus suis definitus, atque circumscriptus. Hujus partim ex constipatione, partim raritate succedente cuncta generari: itemque, sempiternum esse motum; ex eodem aëre in sese coacto atque compresso terram omnium principem eamque latam admodum natam esse, aërique propterea jure ipsam ac merito insidere: solem porro, lunam, ac reliquam siderum multitudinem ex terra sui principium ortus habuisse. Quare solem quidem ipsum terram nuncupabat, eundem tamen arbitrabatur incitatissimo cursu vehementissimum
4 illum calorem, idque opportune admodum, esse consequutum. Jam vero

Quid Xenophanes.

Xenophanes Colophonius singularem quandam insistens viam, et ab eorum quos adhuc produximus omnium opinione deflectentem, nullum penitus vel ortum vel interitum relinquit, sui semper simile hoc universum esse ratus: si enim detur procreatum illud esse, continuo sequuturum uti

ὂν ποιῆσαι τι, οὔτε ὑπὸ τοῦ μὴ ὄντος γένοιτ' ἄν τι. Ἀπο- b ΠΛΟΥΤΑΡΧΟΥ
φαίνεται δὲ καὶ τὰς αἰσθήσεις ψευδεῖς, καὶ καθόλου σὺν αὐταῖς καὶ αὐτὸν τὸν λόγον διαβάλλει. Ἀποφαίνεται δὲ καὶ τῷ χρόνῳ καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν. Φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων πυρίων ἀθροίζεσθαι. Ἀποφαίνεται δὲ καὶ περὶ θεῶν, ὡς οὐδεμιᾶς ἡγεμονίας ἐν αὐτοῖς οὔσης· οὐ γὰρ
[16] ὅσιον δεσπόζεσθαί τινα τῶν θεῶν· ἐπιδεῖσθαί τε μηδενὸς αὐτῶν μηδένα μηδ' ὅλως· ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου καὶ μὴ c
κατὰ μέρος. Ἀποφαίνεται δὲ καὶ τὴν γῆν ἄπειρον εἶναι, καὶ κατὰ πᾶν μέρος μὴ περιέχεσθαι ὑπὸ ἀέρος· γίνεσθαι δὲ ἅπαντα ἐκ γῆς· τὸν δὲ ἥλιόν φησι καὶ τὰ ἄλλα ἄστρα ἐκ τῶν νεφῶν γίνεσθαι.

5 Παρμενίδης δὲ ὁ Ἐλεάτης, ὁ ἑταῖρος Ξενοφάνους, ἅμα μὲν καὶ τῶν τούτου δοξῶν ἀντεποιήσατο, ἅμα δὲ καὶ τὴν ἐναντίαν ἐνεχείρησε στάσιν. Ἀΐδιον μὲν γὰρ τὸ πᾶν καὶ

b 6. φησὶ δὲ καὶ—ἅπαντα ἐκ γῆς om. B. 7. πυρίων] πυριδίων. Vide Corsini p. 60. Toup. 8. ἡγεμονίας om. A. Qui paullo supra exhibet in marg. Εἰ ψευδεῖς αἱ αἰσθήσεις Ξενόφανες, αὐτὸς δὲ ἢ καὶ πάντες ἄνθρωποι ἐξ αἰσθήσεως πρῶτον ἀνεγείρεις τὴν γνῶσιν· ἢ πῶς ἄλλως ἀναλογίᾳ χρώμενος καὶ ἐπὶ τὸν νοητὸν διέβης διάκοσμον· ψευδὲς ἅπαν σοι συμβαίνει τὸ πρεσβευόμενον. λέγ γὰρ τὰς τῶν διαλεκτικῶν ἀξιώσεις γνο ἀτόπου δοψέντες καὶ μάλιστα τοῦ καταρχὰς καὶ ὃ θεμελίου λόγον ὑπέχει, ἄτοπα καὶ τὰ μτ αὐτὸ παρακολουθήσει. 10. μηδενὸς] μηδὴν C. Mox ἀκούειν τε καὶ A. 11. καθόλου] καθόλον C. c 4. γῆς] τῆς γῆς C. φησὶ] φασὶ C.F.G. 6. ἑταῖρος] ὁ ἑταῖρος D. 8. ἐνεχειρήσατο] ἐνεχείρησεν A.S.V. ἐνεχείρησε H. ἐνεχείρισε C.F.G. ἀνεχείρησε D.

prius non fuerit; id autem quod non est, neque fieri, neque aliud efficere, neque rursus ex eo fieri quicquam posse. Præterea sensus fallaces esse contendit, unaque cum illis ipsam quoque rationem in omnibus criminatur. Terram progressu temporis continenter deorsum ferri, ac paulatim in mare labi: solem autem ex pusillis iisdemque pluribus igniculis conflatum esse tradit. Quin etiam de diis ita disputat, nullum ut inter eos esse principatum existimet, quod nefas utique videatur deorum quemquam alterius ferre dominatum: rem esse nullam, ad quam ullius ipsorum auxilio alius omnino quisquam indigeat: eosdem porro cuncta in universum audire pariter ac cernere, sigillatim vero ac per partes nihil. Postremo terram infinitam esse, nec omnes illius partes aëre contineri, nihil non ex ea procreari, solem tamen ac reliqua sidera suam nubibus
5 originem debere pronuntiat. Parmenides autem Eleates Xenophanis Quid Parmenides.
ejusdem familiaris, partim ad illius sese opiniones adjunxit, partim contrariam quandam instituit factionem. Etenim sempiternum esse orbem

ΠΛΟΥΤΑΡΧΟΥ

ἀκίνητον ἀποφαίνεται, καὶ κατὰ τὴν τῶν πραγμάτων ἀλήθειαν· εἶναι γὰρ αὐτὸ

Μοῦνον, μουνογενές τε καὶ ἀτρεμὲς, ἠδ᾽ ἀγένητον· d

γένεσιν δὲ τῶν καθ᾽ ὑπόληψιν ψευδῆ δοκούντων εἶναι, καὶ τὰς αἰσθήσεις ἐκβάλλει ἐκ τῆς ἀληθείας. Φησὶ δὲ, ὅτι εἴ τι παρὰ τὸ ὂν ὑπάρχει, τοῦτο οὐκ ἔστιν ὄν· τὸ δὲ μὴ ὂν ἐν τοῖς ὅλοις οὐκ ἔστιν. Οὕτως οὖν τὸ ὂν ἀγένητον ἀπολείπει· λέγει δὲ τὴν γῆν τοῦ πυκνοῦ καταρρυέντος ἀέρος γεγονέναι.

6 Ζήνων δὲ ὁ Ἐλεάτης ἴδιον μὲν οὐδὲν ἐξέθετο, διηπόρησε δὲ περὶ τούτων ἐπὶ πλεῖον.

7 Δημόκριτος δὲ ὁ Ἀβδηρίτης ὑπεστήσατο τὸ πᾶν ἄπειρον, διὰ τὸ μηδαμῶς ὑπό τινος αὐτὸ δεδημιουργῆσθαι· ἔτι δὲ καὶ ἀμετάβλητον αὐτὸ λέγει· καὶ καθόλου, οἷον πᾶν ἐστι, ῥητῶς ἐκτίθεται μηδεμίαν ἀρχὴν ἔχειν τὰς αἰτίας τῶν νῦν γιγνομένων, ἄνωθεν δὲ ὅλως ἐξ ἀπείρου χρόνου προκατέχεσθαι τῇ ἀνάγκῃ πάνθ᾽ ἁπλῶς τὰ γεγονότα καὶ ὄντα καὶ ἐσόμενα. p. 24

c 9. ἀκίνητον] ἀεικίνητον C.D.F.G.S.V. 11. μόνον μουνογενές] μοῦνον μονογ. C.F.G. μοῦνον item D. οὖλον Theodoreti MSS. Ther. IV. p. 57, 24. Vide Parmenid. fr. v. 59. ed. Karsten. d. δὲ τῶν] τῶν om. C.F.G. δὲ τὴν D. 3. εἴ τι] εἴτε A. ὅτι om. H. τὸ ὂν] τὸν A.H. 6. καταρρυέντος] καὶ κατ. C. 7. Ζήνων — πλεῖον om. B. ἐλεάτης] ἐλάτης A. ἐνεάτης C. 8. οὐδὲν ἐξέθετο] οὐθὲν ἔθετο C.F.G. 9. Δημόκριτος] Δημόκριτος δὲ H. 11. ἔτι δὲ — ἐκτίθεται om. F. 12. οἷον — ἐκτίθεται om. B.

p. 24. 1. καὶ ὄντα] καὶ ἐόντα B.C.D.E.F.G. om. A.H. τὰ ni fallor om. F.G.

hunc universum, omnique motu carere; ipsiusque naturæ veritatem omnino constare defendit; singularem enim illum et unigenam, stabilem ac quietum, nec certo aliquo tempore generatum esse: generationem porro ad ea rejicit, quæ falsa quadam opinione putentur esse, adeoque sensus omnes communione veritatis excludit. Affirmat præterea, si quid præter id quod vere est, uspiam existat, illud ipsum aliquid non esse; quod autem aliquid non sit, id universo minime contineri: quod igitur vere est, id nequaquam esse genitum ea ratione concludit. Cum denique vis
6 magna densioris aëris deflueret, inde terram extitisse opinatur. Zeno quidem Eleates nihil hoc in genere singulare vulgavit, sed ancipiti fere
7 dubitationis æstu fluctuavit. At vero Democritus Abderites universum, quod effectorem sui ac molitorem habeat neminem, infinitum esse vult, omnisque mutationis expers. Idem quoque disertis conceptisque verbis asserit, hoc mundi statu, rerum earum quæ nunc efficiantur caussas, nullum penitus habere principium; sed quæ vel fuerunt antea, vel nunc sunt, vel posthac futura sunt omnia, jam olim infiniti plane spatio temporis vi quadam necessitatis colligata esse. Soli porro ac lunæ generationem

Quid Democritus.

ΠΛΟΥΤΑΡΧΟΥ

Ἡλίου δὲ καὶ σελήνης γένεσίν φησι, κατ' ἰδίαν φέρεσθαι ταῦτα μηδέπω τοπαράπαν ἔχοντα θερμὴν φύσιν, μηδὲ μὴν καθόλου λαμπροτάτην, τοὐναντίον δὲ ἐξωμοιωμένην τῇ περὶ τὴν γῆν φύσει· γεγονέναι γὰρ ἑκάτερον τούτων πρότερον ἔτι κατ' ἰδίαν ὑποβολήν τινα κόσμου, ὕστερον δὲ μεγεθοποιουμένου τοῦ περὶ τὸν ἥλιον κύκλου ἐναποληφθῆναι ἐν αὐτῷ τὸ πῦρ.

8 Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος τὸν περὶ θεῶν τῦφον b πειρᾶται καταστέλλειν· ἀλλὰ καὶ οὐδέν, φησι, γίγνεται ἐκ τοῦ μὴ ὄντος, ὅτι τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν, καὶ ἔσται τοιοῦτον· ὅτι οὐδὲν ξένον ἐν τῷ παντὶ ἀποτελεῖται παρὰ τὸν ἤδη γεγενημένον χρόνον ἄπειρον· ὅτι πᾶν ἐστι σῶμα, καὶ οὐ μόνον ἀμετάβλητον, ἀλλὰ καὶ ἄπειρον· ὅτι τέλος τῶν ἀγαθῶν, ἡδονή.

9 Ἀρίστιππος ὁ Κυρηναῖος τέλος ἀγαθῶν τὴν ἡδονήν, κακῶν δὲ τὴν ἀλγηδόνα· τὴν δὲ ἄλλην φυσιολογίαν περιγράφει, μόνον ὠφέλιμον εἶναι λέγων τὸ ζητεῖν

Ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

a 2. δὲ καὶ] τε καὶ C.F.G. 3. ἰδίαν δὴ] δὴ om. A.B.C.D.E.F.G.H. Mox τὰ παρ' ἅπαν H. 5. τοὐναντίον] τουναντίου F. 6. γεγονέναι] γέγονε B.C.D.F.G. 8. ὑποβολήν τινα κόσμου] φέρεσθαι B. ὑπερβολὴν F. 10. ἐναποληφθῆναι] ἐναπολη(ει)φθῆναι D. ἐναπολειφθῆναι E. b. οὐθέν] οὐδὲν C.D.F.G. 2. γίνεται] γίγνεται A. 4. ἀποτελεῖται ἐν τῷ παντὶ] ἐν τῷ π. ἀ. A.B.C.F.G.H. 10. ὠφέλιμον εἶναι] εἶναι om. C.F.G. ὠφέλιμον ante μόνον H. 11. τε τέτυκται] τέτακται C. τέτυκται D.G. sine τε.

attribuit, ac tum seorsim utrumque docet proprios habuisse motus, cum nondum usque adeo calidam ambo fulgentemque naturam obtinerent, sed terrenæ potius naturæ persimilem: ad eum enim prius modum utrumque procreatum esse, quem singularis quædam ac propria subjecti mundi conditio postulabat: deinceps vero ubi major solis ejusdem circulus evasisset, ignem ipso tum inclusum et comprehensum fuisse.

8 Epicurus Neoclis filius Atheniensis, inanem earum quæ de diis suscipiuntur disputationum fastum dejicere conatur: simulque contendit, ex eo quod non sit, oriri nihil: hoc universum tale semper fuisse, taleque perpetuo futurum quale nunc est: si tempus infinitum jamque ante productum excipias, novi nihil toto orbe perfici: universum, corpus esse non solum immutabile, sed etiam infinitum: bonorum denique finem una voluptate contineri.

Quid Epicurus.

9 Aristippus Cyrenæus bonorum quoque finem in voluptate, malorum autem in dolore constituit: reliquam physiologiam ita circumscribit, hujus ut unius rei considerationem utilem esse dicat,

Quid tristis lætive domi sors improba verset.

ΠΛΟΥ-ΤΑΡ-ΧΟΥ

Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, στοιχεῖα τέσσαρα, πῦρ, ὕδωρ, αἰθέρα, γαῖαν· αἰτίαν δὲ τούτων, φιλίαν καὶ νεῖκος. Ἐκ πρώτης φησὶ τῆς τῶν στοιχείων κράσεως ἀποκριθέντα τὸν ἀέρα περιχυθῆναι κύκλῳ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν, καὶ οὐκ ἔχον ἑτέραν χώραν, ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου. Εἶναι δὲ κύκλῳ περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια, τὸ μὲν καθόλου πυρὸς, τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρὸς, ὅπερ οἴεται τὴν νύκτα εἶναι. Τὴν δὲ ἀρχὴν τῆς κινήσεως συμβῆναι ἀπὸ τοῦ τετυχηκέναι κατὰ τὸν ἀθροισμὸν, ἐπιβρίσαντος τοῦ πυρός. Ὁ δὲ ἥλιος τὴν φύσιν οὐκ ἔστι πῦρ ἀλλὰ τοῦ πυρὸς ἀντανάκλασις, ὁμοία τῇ ἀφ' ὕδατος γινομένῃ. Σελήνην δέ φησι συστῆναι καθ' ἑαυτὴν ἐκ τοῦ ἀπολειφθέντος ἀέρος ὑπὸ τοῦ πυρός· τοῦτον γὰρ παγῆναι, καθάπερ καὶ τὴν χάλαζαν· τὸ δὲ φῶς αὐτὴν σχεῖν ἀπὸ τοῦ ἡλίου. Τὸ δὲ ἡγεμονικὸν οὔτε ἐν κεφαλῇ οὔτε ἐν θώρακι, ἀλλ' ἐν αἵματι· ὅθεν καθ' ὅ τι ἂν μέρος τοῦ σώματος πλεῖον ᾖ παρεσπαρμένον τὸ ἡγεμονικὸν, οἴεται κατ' ἐκεῖνο προτερεῖν τοὺς ἀνθρώπους.

(c, d: marginal section letters)

c 3. νεῖκος] ν[εῖ]ικος A. 5. ἐκδραμὸν] ἔκδρομον A.H. 7. ὑπὲρ τὸν ἀέρα πάγον F.G. 8. περὶ] ὑπὲρ C. περὶ γῆν κύκλῳ D. τὴν om. F.G. d 3. τὸν ἀθροισμὸν ἐ.] ἀριθμὸν ἐπιβρήσαντος C. τετυχέναι κατὰ ἀθροισμὸν ἐπιβήσαντος F. ἐπιβρήσαντος C. 4. τὴν φύσιν οὐκ ἔστι] τῇ φύσει οὐκ ἔστι τὸ H. 6. φησὶ om. C.F.G. Tum καὶ καθ' A.H. 7. ἀπολειφθέντος] ἀποληφθέντος F.G. 9. τὸ δὲ] τὸ λογιστικὸν δ' A. in marg. qui mox ἔχειν pro σχεῖν. αὐτῆς ἔχειν H. 10. κεφαλῇ] τῇ κεφ. C.F.G. et mox τῷ θώρακι. 12. πλεῖον om. B.C.F.G. παρεσπαρμένον] παρασπασμένον C.D.F.G. Mox Viger. in marg. pro ἡγεμονικὸν f. αἷμα.

Quid Empedocles.

Empedocles Agrigentinus quatuor elementa ponit, ignem, aquam, aërem et terram, quorum caussas amicitiam ac discordiam esse vult. Idem ex prima elementorum confusione secretum aërem ac circum in orbem fusum esse ait: ignem vero postmodum exilientem, cum locum sibi alium non reperiret, sursum tandem concreti aëris frigore compulsum evolasse. Duos præterea dimidios orbes circa terram circulari motu ferri, alterum ex igne totum, alterum ex aëre igneque modico temperatum, quam ipse noctem esse arbitratur: motus autem initium ex eo contigisse, quod in ista elementorum conjunctione vehementior ignis impetus extitisset. Jam vero solem natura sua non ignem, sed ignis reflexionem esse, illi quam ex aqua fieri videmus persimilem: at lunam ex aëre quem ignis reliquerat sua sponte coaluisse; (quippe enim grandinis instar concrevisse aërem;) lumen porro suum eandem a sole mutuari. Denique animi principatum nec in capite, nec in pectore, sed in sanguine constituit; ideoque qua parte corporis diffusus magis sanguis ille fuerit, eadem

11 Μητρόδωρος ὁ Χῖος, ἀΐδιον εἶναί φησι τὸ πᾶν, ὅτι εἰ ἦν γενητὸν, ἐκ τοῦ μὴ ὄντος ἂν ἦν· ἄπειρον δὲ, ὅτι ἀΐδιον, οὐ [17] γὰρ ἔχειν ἀρχὴν ὅθεν ἤρξατο, οὐδὲ πέρας, οὐδὲ τελευτήν· p. 25 ἀλλ' οὐδὲ κινήσεως μετέχειν τὸ πᾶν. Κινεῖσθαι γὰρ ἀδύνατον, μὴ μεθιστάμενον· μεθίστασθαι δὲ ἀναγκαῖον ἤτοι εἰς πλῆρες, ἢ εἰς κενόν. Πυκνούμενον δὲ τὸν αἰθέρα ποιεῖν νεφέλας, εἶτα ὕδωρ, ὃ καὶ κατιὸν ἐπὶ τὸν ἥλιον σβεννύναι αὐτόν· καὶ πάλιν ἀραιούμενον ἐξάπτεσθαι. Χρόνῳ δὲ πήγνυσθαι τῷ ξηρῷ τὸν ἥλιον, καὶ ποιεῖν ἐκ τοῦ λαμπροῦ ὕδατος ἀστέρας, νύκτα τε καὶ ἡμέραν ἐκ τῆς σβέσεως καὶ ἐξάψεως, καὶ καθόλου τὰς ἐκλείψεις ἀποτελεῖν. b

ΠΛΟΥΤΑΡΧΟΥ

12 Διογένης ὁ Ἀπολλωνιάτης ἀέρα ὑφίσταται στοιχεῖον· κινεῖσθαι δὲ τὰ πάντα, ἀπείρους τε εἶναι τοὺς κόσμους. Κοσμοποιεῖ δὲ οὕτως· ὅτι τοῦ παντὸς κινουμένου, καὶ ᾗ μὲν ἀραιοῦ ᾗ δὲ πυκνοῦ γινομένου, ὅπου συνεκύρησε τὸ πυκνὸν συστροφὴν ποιῆσαι, καὶ οὕτω τὰ λοιπὰ κατὰ τὸν αὐτὸν

d 15. εἶναι om. F.

p. 25. 2. ἔχειν] εἶχεν A. 6. πλῆρες] πλήρης A. πλήρης H. qui mox καινόν. 7. αἰθέρα] ἀέρα C.F.G. εἶτα ὕδωρ] ἐπὶ τὸ ὕδωρ A.H. b 2. Ἀπολλωνιάτης] Ἀπολλωνίτης A. sed cum lemmate Διογένους τοῦ Ἀπολλωνιάτου in marg. 3. ὑφίσταται] ὑφίστασθαι D.E. δὲ τὰ] τε τὰ C.F.G. τε κατὰ D. 4. κοσμοποιεῖ] κοσμοποιεῖν A.H. 5. τοῦ om. E. 6. γινομένου] γενομένου C.D.F.G.

11 homines præstare arbitratur. Metrodorus Chius sempiternum esse hoc universum affirmat, propterea quod si genitum illud esset, ex eo quod nusquam est genitum fuisset: quoniam autem sempiternum sit, infinitum pariter esse, utpote quod neque principium unde cœperit, nec terminum aut finem habeat. Imo, ne moveri quidem universum; nec enim illud moveri posse, nisi alio migret; necesse autem esse vel in plenum migrare, vel in vacuum. Præterea ex aëre constipato nubes primum, deinde aquam procreari, quæ in solem defluens, ipsius ignem extinguat, qui tamen denuo succedente raritate accendatur. Eundem porro solem, progressu temporis siccitate concrescere, ac stellas quidem ex limpida et splendenti aqua generare, noctem vero simul atque diem ex mutua illa cum extinctione tum inflammatione, omnesque omnino defectiones eadem ratione

Quid Metrodorus.

12 complere. Diogenes Apolloniata, aërem elementum ponit, moveri autem universa, et infinitos esse mundos affirmat. Cæterum ejusmodi somniat eorum molitionem: scilicet cum universum ita moveretur, ut rarius hic, alibi densius fieret, ubicunque major densitas contingeret, ibi convolutionem quandam effecisse, tum similem in modum cætera: quæ autem om-

Quid Diogenes.

ΠΛΟΥΤΑΡΧΟΥ

λόγον τὰ κουφότατα τὴν ἄνω τάξιν λαβόντα τὸν ἥλιον ἀποτελέσαι.

13 Τοιαύτη καὶ τῶν πανσόφων Ἑλλήνων τῶν δὴ φυσικῶν καὶ φιλοσόφων ἐπικληθέντων ἡ περὶ τῆς συστάσεως c τοῦ παντὸς καὶ τῆς πρώτης κοσμογενείας διάληψις, οὐ δημιουργὸν ἢ ποιητήν τινα τῶν ὅλων ὑποστησαμένων, ἀλλ' οὐδ' ὅλως Θεοῦ μνήμην ποιησαμένων, μόνῃ δὲ τῇ ἀλόγῳ φορᾷ καὶ τῇ αὐτομάτῳ κινήσει τὴν αἰτίαν τοῦ
14 παντὸς ἀνατεθειμένων. Τοσαύτη δὲ αὐτῶν καὶ ἡ πρὸς ἀλλήλους ἐναντιότης, ἐν μὲν οὐδενὶ ἀλλήλοις συμπεφωνηκότων, μάχης δὲ καὶ διαφωνίας τὰ πάντα ἀναπε- d πληρωκότων. Ὅθεν καὶ ὁ θαυμάσιος Σωκράτης τουτουσὶ πάντας μωραίνοντας ἀπήλεγχε, καὶ μαινομένων κατ' οὐδὲν ἔλεγε διαφέρειν, εἰ δή σοι μάρτυς ἀξιόχρεως Ξενοφῶν ἐν Ἀπομνημονεύμασι λέγων οὕτως.

b 9. λαβόντα] λαμβάνοντα H. c. τοιαύτη καὶ—ἀναπεπληρωκότων om. B. 2. φιλοσόφων] καὶ φιλοσοφῶν F.G. 4. κοσμογονίας] κοσμογενίας D. ἢ ποιητὴν] οὐ π. A.H. ubi mox om. ἀλλ' οὐδ'—ποιησαμένων. 8. ἀνατεθειμένων] ἀνατεθεικότων A.H. ἀνατιθειμένων τοσαῦτα D. 10. ἐν μὲν] ἐν μὲν γὰρ D.E. ἐν μὲν οὐδὲ ἓν H. d. ἀντιφωνίας] διαφωνίας A.C.F.G.H.S. 2. ἀναπεπληρωκότων] ἀναπεπληκότων C.D.E. ὅθεν] ἔνθεν B.H. 3. τούτους F. πάντας om. A.H. Mox ἀπήλεγξε C.F.G. 6. ἀπομνημονεύμασι] ὑπομνήμασι H.

nium levissimæ partes essent, eas regione superiori occupata solem produxisse.

13 Talis ergo fuit sapientissimorum etiam Græciæ philosophorum, eorum saltem qui physici vocabantur, de universi constitutione, deque prima mundi procreatione disputatio, in qua nullum architectum, nullum rerum omnium effectorem posuerunt, imo ne Dei quidem mentionem ullam fecerunt, sed temerariæ cuidam agitationi,
14 ac fortuito plane motui hujus universitatis caussam assignarunt. Ac tanta quidem eorum est inter sese dissensio, ut eadem nulla prorsus in re pronuntiarint, sed contentione ac sententiarum diversitate omnia compleverint. Itaque Socrates vir ille singularis et eximius, istos omnes vaticinari ostendebat, nihilque omnino ab insanis ac furiosis discrepare, si Xenophontem ut dignum fide testem audiamus. Sic enim in Memorabilibus ipse loquitur.

Xen. Mem. I. 1, 11.

15 Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. Οὐδὲ γὰρ περὶ τῆς ἁπάντων φύσεως, ἢ περὶ τῶν ἄλλων, ὡς οἱ πλεῖστοι, διελέγετο, σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυε. ΞΕΝΟΦΩΝΤΟΣ

Καὶ ἐπιλέγει ἑξῆς·

16 Ἐθαύμαζε δὲ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα p. 26
ἀδύνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς τὰ μέγιστα φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ τὰ αὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ τὰ μὴ φοβερὰ φοβεῖσθαι· τῶν τε περὶ τῆς πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δὲ ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ πάντα b

d 8. οὐδὲ] οὐδὲν A.H. —οὔτε—οἶδεν D. οὐδὲ πράττοντος F. 11. διελέγετο] διελέγοντο D. Supra libri Xenophontis ἤπερ τῶν ἄλλων οἱ πλεῖστοι. 12. σοφιστῶν] σοφιστικῶν B.C.D.F.
p. 26. μὴ] μὲν D. 2. ἀδύνατον—ἀνθρώποις] οὐ δυνατὸν—ἄνθρωπον A.H. 3. ἐπεὶ] ἔπειτα H. τοὺς τὰ μέγιστα φρονοῦντας] τοὺς μέγιστον ἀφρονοῦντας B.C.D.F.G. 5. τοῖς μαινομένοις—ἀπόλλυσθαι om. B. 6. περὶ ἀλλήλους E. τῶν τε] τῶν δὲ F. τε om. H. qui mox om. τοὺς μὲν. 9. ῥήσεως] φύσεως C.D.F.G. ῥύσεως E. 10. τὸ ὂν om. A.H.

15 Socratem vero nullus unquam impii quicquam atque nefarii aut vidit agentem, aut loquentem audivit. Neque enim de universa natura, quemadmodum plerique vulgo, disputabat, sic nimirum, ut quo pacto sese hic habeat, qui a sophistarum natione mundus vocatur, aut qua fati ac necessitatis vi cujuslibet rei cœlestis ratio teneatur, investigaret; sed eos potius qui genus hoc rerum curiosius agitarent insanire demonstrabat. Socrates antiquos physicos irridet.

Quibus hæc subjungit.

16 Permirum autem ipsi videbatur, ne perspectum quidem illis hoc fuisse, quod eo cognitionis hominum ingenia pervenire nullo modo possint, cum ii præsertim qui sese hoc disputationis genere plurimum efferant, non in eadem opinione sententiaque versentur, sed alii cum aliis furiosorum utique more se gerant. Quippe enim ex furiosis alios esse, qui ne gravia quidem et atrocia metuant, alios vero qui ipsa quoque non metuenda extimescant: sic eorum qui naturam universi diligentius explorare conentur, alios quicquid est unum esse velle, alios infinitam rerum multitudinem in-

ΞΕΝΟΦΩΝΤΟΣ

κινεῖσθαι, τοῖς δὲ οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν ἅπαντα γίνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δὲ οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτ' ἀπόλλυσθαι.

17 Ταῦθ' ὁ Σωκράτης, ὡς ὁ Ξενοφῶν μαρτυρεῖ. Συνᾴδει δὲ καὶ ὁ Πλάτων τούτοις ἐν τῷ Περὶ ψυχῆς, τοιάδε λέγοντα αὐτὸν ἀναγράφων·

ΠΛΑΤΩΝΟΣ

Ἐγὼ γὰρ, ἔφη, ὦ Κέβης, νέος ὢν, θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν· ὑπερήφανον γάρ μοι εἶναι ἐδόκει εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίνεται ἕκαστον, καὶ διὰ τί ἀπόλλυται, καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον, c σκοπῶν πρῶτον τὰ τοιάδε· ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε ἤδη τὰ ζῷα ξυντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ, ἢ τὸ πῦρ· ἢ τούτων μὲν οὐδὲν, ὁ δ' ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ὁρᾶν καὶ ἀκούειν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ

a 12. οὐδ' ἂν] οὐδὲν ἂν A.C.F.G.H. b 5. Ξενοφῶν] ὁ Ξεν. A.H. Supra τοῦθ' H. καὶ ὁ] καὶ om. D. 6. ἐν τῷ] ἐν τοῖς C.D.G. 10. ἐδόκει εἶναι] εἶναι ἐδόκει A.H. ἐδόκει εἰδέναι D. 11. διὰ τί γίν.—ἀπόλλυται om. C. c. καὶ κάτω] καὶ om. A.H. 2. μετέβαλλον] μετέβαλον C.F.G. 3. ψυχρὸν καὶ τὸ θερμὸν] θερμὸν κ. τ. ψ. A.H. 4. τότε ἤδη] τότε om. C. 8. ἀκούειν καὶ ὁρᾶν] ὁρᾶν καὶ ἀκ. A.H.

vehere; aliis item placere continenti motu res omnes agitari, aliis contra, nullo unquam tempore moveri posse; aliis denique generari omnia ac deinceps interire, aliis vero nihil unquam vel genitum esse, vel interitu periturum.

17 Atque hæc Socrates, ut Xenophon auctor est. Quibus similia prorsus ea sunt, quæ Plato eundem Socratem in eo quem De animo scripsit dialogo ita commemorantem inducit.

Plat. Phæd. p 96 A.

Etenim mirum, inquit, O Cebes, quanta me juvenis cum essem illius cupiditas sapientiæ tenuerit, quam vulgo naturæ contemplationem appellant, quippe magnificum oppido mihi videbatur caussas nosse rerum singularum, ac cur unaquæque vel oriatur, vel intereat, vel existat, intelligere; sæpiusque adeo me sursum deorsumque versabam, cum in ejusmodi primum quæstiones incumberem: utrum scilicet, quod nonnullis placebat, ubi frigidum et calidum loci aliquid corruptioni dederint, tum demum animantia nutrimentum ac firmitatem accipiant? utrum sanguine, an aëre, an potius igne sapiamus? an vero his omnibus exclusis, uni cerebro

ΠΛΑΤΩΝΟΣ

μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα γίνεσθαι d
18 ἐπιστήμην. Καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν, καὶ τὰ
[18] περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα. Τεκμήριον δέ σοι ἐρῶ ἱκανόν· ἐγὼ γὰρ ἃ καὶ πρότερον σαφῶς ἠπιστάμην, ὥς γε ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἐδόκουν, τότε ὑπ᾽ αὐτῆς τῆς σκέψεως οὕτω σφόδρα ἐτυφλώθην, ὥστε ἀπέμαθον καὶ ταῦθ᾽, ἃ πρὸ τοῦ ᾤμην εἰδέναι.

19 Ταῦτα Σωκράτης αὐτὸς ἐκεῖνος ὁ πᾶσιν ἀοίδιμος Ἕλλησιν. Ὅτε τοίνυν καὶ τῷ τηλικούτῳ φιλοσόφῳ τοιάδε εἶναι ἐδόκει τὰ τῆς τῶν δηλωθέντων φυσιολογίας,
εἰκότως μοι δοκῶ καὶ ἡμᾶς τὴν τούτων ἁπάντων ἀθεό- p. 27
τητα παρῃτῆσθαι, ἐπεὶ καὶ τὰ τῆς πολυθέου πλάνης αὐτῶν οὐκ ἔοικεν εἶναι ἀλλότρια τῶν εἰρημένων. Τοῦτο μὲν οὖν ἐπὶ καιροῦ τοῦ προσήκοντος ἐλεγχθήσεται, καθ᾽ ὃν ἀποδείξομεν, ὅτι πρῶτος Ἑλλήνων Ἀναξαγόρας νοῦν ἐπιστῆσαι τῇ τοῦ παντὸς αἰτίᾳ μνημονεύεται.

d. φθορᾶς] φορᾶς F. 2. τε καὶ] δὲ καὶ A.H. 9. ἐτυφλώθην] ἐτυφλώθη C. ὥστε] ὡς A. 10. προτοῦ] πρὸ τούτου A.H. Theodoret. p. 23, 15. πρὸ τοῦ C. 11. αὐτὸς] om. D. Mox ἐκεῖνος καὶ Πλάτων οἱ πᾶσιν ἀοίδιμοι H. pen. ἐδόκει εἶναι] εἶναι ἐδόκει A.H.
p. 27. 3. εἰρημένων] εἰρημένων αὐτῶν H.

audiendi, videndi, atque odorandi sensuum origo debeatur: sic ut ex iis memoria simul et opinio, ex utraque autem, ubi placide quieteque consti-
18 terint, cum iisdem cohærens scientia generetur? Cumque vicissim rerum earundem interitus, quæque tam in cœlo quam in terra vulgo contingunt mecum ipse reputarem, demum ita me ad hoc contemplationis genus ineptum, ut qui maxime, esse judicavi. Cujus rei hoc tibi argumentum instar omnium proferam; quod quæ mihi prius ac cæteris optime videbar intelligere, eadem postmodum omnia dediscerem; tantum illa ipsa contemplatio mihi cæcitatis offuderat.

19 Hæc Socrates ille Græcorum omnium ore famaque celebratus. Quare cum ea tanti philosophi de illorum omnium, quos ante commemoravimus, physiologia mens et sententia fuerit; jure quoque sentio nos ab istorum negatæ divinitatis scelere declinasse: præsertim cum ipsorum de multitudine deorum error ab iis, quæ de universi ortu somniarunt, nequaquam alienus esse videatur. Cæterum id suo loco manifeste deprehendetur, ubi principem Græcorum Anaxagoram, qui Mentem hujus universitatis molitioni præfecerit, laudari

Νῦν δέ μοι ἐπὶ τὸν Διόδωρον μετάβα, καὶ σκόπει οἷα περὶ τῆς πρώτης τῶν ἀνθρώπων θεολογίας ἱστορεῖ.

9 ΔΙΟΔΩΡΟΥ Τοὺς δ᾽ οὖν κατ᾽ Αἴγυπτον ἀνθρώπους τὸ παλαιὸν γενομένους ἀναβλέψαντας εἰς τὸν κόσμον, καὶ τὴν τῶν ὅλων c φύσιν καταπλαγέντας τε καὶ θαυμάσαντας, ὑπολαβεῖν εἶναι δύο θεοὺς ἀϊδίους τε καὶ πρώτους τόν τε ἥλιον καὶ τὴν σελήνην, ὧν τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν ὀνομάσαι, ἀπό τινος ἐτύμου 2 τεθείσης ἑκατέρας τῆς προσηγορίας. Μεθερμηνευομένων γὰρ τούτων εἰς τὸν Ἑλληνικὸν τῆς διαλέκτου τρόπον, εἶναι μὲν τὸν Ὄσιριν πολυόφθαλμον· εἰκότως· πάντῃ γὰρ ἐπιβάλλοντα τὰς ἀκτῖνας ὥσπερ πολλοῖς ὀφθαλμοῖς βλέπειν ἅπασαν γῆν καὶ θάλατταν· καὶ τὸν ποιητὴν δὲ λέγειν σύμφωνα τούτοις,

Ἠέλιός θ᾽ ὃς πάντ᾽ ἐφορᾷς καὶ πάντ᾽ ἐπακούεις.

3 Τῶν δὲ παρ᾽ Ἕλλησι παλαιῶν μυθολόγων τινὲς τὸν Ὄσιριν d

a 7. ἐπὶ τὸν Διόδωρον] ἐπὶ τοῦτο A.H. c 3. θεοὺς] δύο θεοὺς A.H. 6. ἐτύμου] ἑτοίμου A.E. ἑκατέρας τῆς προσηγορίας] ἑκατέρῳ προσ. B.C.F.G. 7. μεθερμηνευόντων] μεθερμηνευομένων C.D.F.G.H. 9. τὸν Ὄσιριν] τὸν μὲν Ὄσ. A.H. παντὶ] πάντῃ A.H. Vigeri marg. 10. ἐπιβάλλοντα] ἐπιβαλόντα C.G. ὀφθαλμοῖς πολλοῖς] πολλοῖς ὀφθαλμοῖς A.H. Mox τὴν ante γῆν H. 11. θάλασσαν] θάλατταν A. 13. ἥλιος] ἠέλιος D.G. ἐφορᾷ—ἐπακούει] ἐφορᾷς—ἐπακούεις A.H. d. πάλαι] παλαιῶν A.C.D.F.G.H. 2. προσαγορεύουσι] προσονομάζουσιν A.C.D.F.G.H.V. 3. ὧν] ὡς H.

ostendemus. Nunc vero transfer animum sis ad Diodorum, quæque de prima hominum theologia memoriæ prodidit, considera.

Diod. Sic. I. 11. Ægyptios olim astra coluisse.

9 Priscos Ægyptios ferunt, cum oculos hujus in mundi contemplatione defixissent, cumque rerum omnium naturam vehementiori admiratione obstupescerent, solem ac lunam sempiternos esse deos omniumque principes censuisse; quorum alterum Osirin, alteram Isin, ex certa quadam 2 notatione, utriusque nominis ratione ducta, nuncuparint. Etenim, si vocum istarum significationem Græcæ linguæ verbis exprimamus, Osirin quidem aliud esse nihil, quam multis oculis præditum: nec immerito sane, cum ipse radiis omnem in partem longe lateque diffusis, sic tanquam pluribus oculis terram simul ac mare lustret universum. Quibuscum illud etiam poëtæ consentiat,

Sol qui cuncta procul cernitque auditque per orbem.

3 Quanquam prisci quidam apud Græcos fabularum inventores eundem Osirin, et Bacchum, et vero similitudine quadam atque affinitate nominis

Διόνυσον προσονομάζουσι καὶ Σείριον παρωνύμως. Ὧν Εὔμολπος μὲν ἐν τοῖς Βακχικοῖς ἔπεσί φησιν, ΔΙΟΔΩΡΟΥ

Ἀστροφαῆ Διόνυσον ἐν ἀκτίνεσσι πυρωπόν.

Ὀρφεὺς δὲ,

Τοὔνεκά μιν καλέουσι Φάνητά τε καὶ Διόνυσον.

Φασὶ δέ τινες καὶ τὸ ἔναμμα αὐτῷ τὸ τῆς νεβρίδος ἀπὸ τῆς
4 τῶν ἄστρων ποικιλίας περιῆφθαι. Τὴν δὲ Ἶσιν μεθερμηνευομένην εἶναι παλαιὰν, τεθειμένης τῆς προσηγορίας τῇ σελήνῃ ἀπὸ τῆς ἀϊδίου καὶ παλαιᾶς γενέσεως· κέρατα δ' αὐτῇ περιτιθέασιν ἀπό τε τῆς ὄψεως, ἣν ἔχουσα φαίνεται καθ' ὃν ἂν χρόνον ὑπάρχῃ μηνοειδής, καὶ ἀπὸ τῆς καθιερωμένης αὐτῇ p. 28 βοὸς παρ' Αἰγυπτίοις. Τούτους δὲ τοὺς θεοὺς ὑφίστανται τὸν σύμπαντα κόσμον διοικεῖν.

5 Τοιαῦτα μὲν οὖν καὶ ταῦτα. Ἔχεις δὲ καὶ ἐν τῇ Φοινικικῇ θεολογίᾳ, ὡς ἄρα Φοινίκων οἱ πρῶτοι φυσικοὶ ἥλιον σελήνην καὶ τοὺς λοιποὺς πλανήτας ἀστέρας καὶ

d 3. σύριον] σίριον A. Vigeri marg. σείριον B.C.D.G. 5. διόνυσον] διόνυσσον hic et infra A. πυρωπὸν] πυρωτὸν C. pen. ἀπό τε] τε om. H. ult. ὑπάρχῃ] ὑπάρχοι B. ὑπάρχει E.

p. 28. 4. οὖν καὶ om. C. οὖν om. D.F.G.H. φοινικικῇ] φοινικῇ B.C.D.F.G. 6. ἥλιον καὶ] καὶ om. A.C.F.G. ἥ. καὶ τὴν σελήνην καὶ τοὺς πλανήτας τοὺς λοιποὺς H.

Sirium appellarunt. Ex quibus Eumolpus in Bacchicis carminibus ita cecinit,

More astri Bacchum vultu flagrante micantem.

Orpheus autem sic,

Ergo Phanetem ipsum, vel Bacchum nomine dicunt.

Quinetiam addunt nonnulli, ex siderum varietate ortum hunc esse morem,
4 ut idem adstrictam nodo hinnuli pellem circumferret. Isin vero, antiquam, significare aiunt, quo nomine Luna propter antiquissimum ac sempiternum ortum appellata fuerit. Cornua porro eidem affigunt, partim ea figura permoti, quam sub accretionem diminutionemve luminis cornuum instar curvatam ostendit, partim quod ei vacca sit apud Ægyptios consecrata. Cæterum geminos hosce Deos mundum universum moderari docent.

5 Ac de Ægyptiis quidem hæc a nobis dicta sunto. Jam in Phœnicum etiam theologia reperias, qui principes apud illos naturalis sese philosophiæ studio dediderunt, eos solem pariter atque lunam, Nec minus Phœnices.

τὰ στοιχεῖα καὶ τὰ τούτοις συναφῆ θεοὺς μόνους ἐγίνω-
σκον, καὶ ὅτι τούτοις οἱ παλαίτατοι τὰ τῆς γῆς ἀφιέρω-
σαν βλαστήματα, καὶ θεοὺς ἐνόμισαν, καὶ προσεκύνουν
ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγίνοντο, καὶ οἱ ἑπόμενοι, καὶ b
οἱ πρὸ αὐτῶν πάντες, καὶ χοὰς καὶ ἐπιχύσεις ἐτέλουν·
ἔλεον δὲ καὶ οἶκτον καὶ κλαυθμὸν βλαστήματι γῆς
ἀπιόντι καθιέρουν, καὶ γενέσει ζώων ἐκ γῆς πρώτῃ, καὶ
τῇ ἐξ ἀλλήλων, καὶ τελευτῇ, καθ' ἣν τοῦ ζῆν ἀπήρ-
6 χοντο. Αὗται δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως
ὅμοιαι τῇ αὐτῶν ἀσθενείᾳ, καὶ ψυχῆς ἔτι ἀτολμίᾳ.
Ταῦτα καὶ ἡ Φοινίκων γραφὴ, ὡς ἑξῆς ἀποδειχθήσεται.
[19] Ἀλλὰ καὶ τῶν καθ' ἡμᾶς γεγονὼς αὐτὸς ἐκεῖνος, ὁ ταῖς
καθ' ἡμῶν λαμπρυνόμενος δυσφημίαις, ἐν οἷς ἐπέγραψε c
Περὶ τῆς τῶν ἐμψύχων ἀποχῆς, καὶ τῶν παλαιῶν ἀρ-

a 8. μόνον] μόνους A.H. 9. τὰ τῆς] τὰ om. A.H. In H. item παλαιότατοι. 10. ἐνόμισαν] ἐνόμησαν C. προσεκύνουν] προσεκύνησαν H. 11. αὐτοί τε] αὐτοὶ καὶ A.H. b. πρὸ αὐτῶν] πρὸς αὐτῶν D. 2. ἐπιχύσεις] ἐπιθύσεις A. ἐχύσεις C. Tum ἐπετέλουν C.D.S.V. 3. βλαστήματι] καὶ βλαστήματα A.H. βλαστήματα F. 5. καὶ τῇ] καὶ om. C. F.G. 6. αἱ ἐπίν.] αἱ om. H. 8. ταῦτα καὶ—Θεόφραστος om. B. c 2. ἐμψύχων ἀπ. καὶ τῶν om. A.H. ἀποχῆς τῆς τῶν C.F.G. ἀρχαιότητος] ἀρχαιό$\overset{\text{τη}}{\text{τα}}$τος D.

cæterasque stellas inerrantes, elementa præterea, quæque cum iis conjuncta sunt deorum in loco tantum habuisse. Iisdem porro mortales vetustissimos terræ germina dedicasse, quibus divinitatem ipsi quoque cum adorationis cultu tribuebant, quibus cum vitam ipsimet adhuc tolerabant, tum eorum non posteri modo, sed etiam majores in inferiis ac libationibus solenni ritu perficiendis uti consuevere. Misericordiam autem, commiserationem et luctum senescenti terræ germini, primæ animantium ex terra procreationi, ac simul eorum ex mutua congressione generationi, mortique adeo ipsi per
6 quam hac vita defungerentur, consecrabant. Ejusmodi erant divini cultus notiones hominum istorum imbecillitati, et angustis adhuc pusillisque animis congruentes. Atque hæc Phœnicum etiam libris, ut deinceps ostendemus, continentur. Quinetiam ille ipse qui nostra memoria vixit, quique evomendis in nos contumeliis atque maledictis famam sibi nomenque conficit, in iis quos *De vitando rerum animatarum usu*

χαιότητος τὴν μνήμην ὧδέ πως αὐτολεξεὶ, Θεοφράστῳ μάρτυρι χρώμενος, παρατίθεται·

7 Ἀνάριθμος μέν τις εἶναι ἔοικε χρόνος, ἀφ' οὗ τόγε πάντων λογιώτατον γένος, ὥς φησι Θεόφραστος, καὶ τὴν ἱερωτάτην ὑπὸ τοῦ Νείλου κτισθεῖσαν χώραν κατοικοῦν, ἤρξαντο οἱ πρῶτοι ἀφ' ἑστίας τοῖς οὐρανίοις θεοῖς θύειν, οὐ σμύρνης οὐδὲ κασίας καὶ λιβανωτοῦ κρόκῳ μιχθέντων ἀπαρχάς· (πολλαῖς γὰρ γενεαῖς ὕστερον παρελήφθη ταῦτα, καὶ πλάνης μαστὴρ d ὁ ἄνθρωπος γιγνόμενος τῆς ἀναγκαίας ζωῆς μετὰ πολλῶν πόνων καὶ δακρύων σταγόνας τούτων ἀπήρξατο τοῖς θεοῖς·)
8 οὐ τούτων οὖν ἔθυον πρότερον, ἀλλὰ χλόης οἱονεί τινα τῆς γονίμου φύσεως χνοῦν ταῖς χερσὶν ἀράμενοι. Δένδρα μὲν γὰρ δὴ πρὸ ζώων ἀνέδωκεν ἡ γῆ, τῶν δένδρων δὲ πολὺ πρόσθεν τὴν ἐπέτειον γεννωμένην πόαν· ἧς δρεπόμενοι φύλλα καὶ ῥίζας καὶ τοὺς ὅλους τῆς φύσεως αὐτῶν βλαστοὺς κατέκαιον, ταύτῃ τοὺς φαινομένους οὐρανίους θεοὺς τῇ θυσίᾳ δεξιούμενοι,

ΠΟΡΦΥΡΙΟΥ

c 3. μνήμην ὧδέ πως] μνήμην πῶς A.H. 4. παρατίθεται] παρατέθειται C.D.E.F.G. 5. ἀνάριθμος] ἀνήριθμος A. et mox ἔοικεν εἶναι cum H. 6. λογιώτατον] λογικώτατον D. 7. καὶ τὴν] ἀλλὰ δὴ καὶ τὴν B. 8. κατοικοῦν] κατοικεῖν A.B.C.D.F.G.H. 9. ἐφ' ἑστίας] ἀφ' ἑστίας C.F.G. οὐρανίοις] ἐν οὐρανοῖς B.C.F.G. 10. λιβανωτοῦ] λιβανωτῷ C. 11. γὰρ γενεαῖς ὕστερον] γενεαῖς ὕστερα A.H. d. ἐρευνητὴς μαστὴρ] ἐρευνητὴς om. B.C.D.F.G. 4. ἀπήρξατο] τούτων ἀπ. B.D.F.G.H.V. γρ. αὐτῶν S. 5. χλόης] χόλης F. 6. τινα] τινας A. 7. γὰρ δὴ] δὴ om. A.H. qui mox ἤδη pro ἡ γῆ. τῶν. 9. γινομένην] γεννωμένην A. γενομένην B.C.D.F.G.H. 11. ταύτῃ τοὺς] ταύτῃ μὲν γὰρ D.

conscripsit, priscæ illius veterum consuetudinis, laudato Theophrasti testimonio, meminit his omnino verbis.

7 Infinitum plane videtur fluxisse tempus, ex quo genus hominum longe sapientissimum, ut loquitur Theophrastus, sanctissimam illam et a Nilo conditam regionem incoleret, ad focum domesticum sacra diis cœlestibus facere cœpit, non myrrhæ, non casiæ thurisque cum croco mixtorum primitiis: (neque enim istorum usus nisi post multas ætates fuit, cum homo curiosus erroris indagator effectus, post multorum laborum atque
8 lachrymarum guttas, necessariæ vitæ primitias diis obtulit;) non illarum, inquam, rerum, sed virentis herbæ, cujus sic tanquam naturæ genitalis primævam quandam lanuginem manibus sublatam offerebat. Quippe enim priores animantibus arbores, multoque ante ipsas gramen annuum terra procreavit, cujus folia radicesque carpentes cum integris earum naturæ germinibus veteres illi comburebant, eoque sacrificii genere qui cœlestes dii videbantur sibi conciliabant, atque sempiternos ignis

Antiqua sacrificandi ratio ex Porphyrio Abst. II. 5.

ΠΛΟΥΤΑΡΧΟΥ λόγον τὰ κουφότατα τὴν ἄνω τάξιν λαβόντα τὸν ἥλιον ἀποτελέσαι.

13 Τοιαύτη καὶ τῶν πανσόφων Ἑλλήνων τῶν δὴ φυσι- c κῶν καὶ φιλοσόφων ἐπικληθέντων ἡ περὶ τῆς συστάσεως τοῦ παντὸς καὶ τῆς πρώτης κοσμογενείας διάληψις, οὐ δημιουργὸν ἢ ποιητήν τινα τῶν ὅλων ὑποστησαμένων, ἀλλ' οὐδ' ὅλως Θεοῦ μνήμην ποιησαμένων, μόνῃ δὲ τῇ ἀλόγῳ φορᾷ καὶ τῇ αὐτομάτῳ κινήσει τὴν αἰτίαν τοῦ

14 παντὸς ἀνατεθειμένων. Τοσαύτη δὲ αὐτῶν καὶ ἡ πρὸς ἀλλήλους ἐναντιότης, ἐν μὲν οὐδενὶ ἀλλήλοις συμπεφωνηκότων, μάχης δὲ καὶ διαφωνίας τὰ πάντα ἀναπε- d πληρωκότων. Ὅθεν καὶ ὁ θαυμάσιος Σωκράτης τουτουσὶ πάντας μωραίνοντας ἀπήλεγχε, καὶ μαινομένων κατ' οὐδὲν ἔλεγε διαφέρειν, εἰ δή σοι μάρτυς ἀξιόχρεως Ξενοφῶν ἐν Ἀπομνημονεύμασι λέγων οὕτως.

b 9. λαβόντα] λαμβάνοντα H. c. τοιαύτη καὶ—ἀναπεπληρωκότων om. B. 2. φιλοσόφων] καὶ φιλοσοφῶν F.G. 4. κοσμογονίας] κοσμογενίας D. ἢ ποιητὴν] οὐ π. A.H. ubi mox om. ἀλλ' οὐδ'—ποιησαμένων. 8. ἀνατεθειμένων] ἀνατεθεικότων A.H. ἀνατιθειμένων τοσαῦτα D. 10. ἐν μὲν] ἐν μὲν γὰρ D.E. ἐν μὲν οὐδὲ ἓν H. d. ἀντιφωνίας] διαφωνίας A.C.F.G.H.S. 2. ἀναπεπληρωκότων] ἀναπεπληκότων C.D.E. ὅθεν] ἔνθεν B.H. 3. τούτους F. πάντας om. A.H. Mox ἀπήλεγξε C.F.G. 6. ἀπομνημονεύμασι] ὑπομνήμασι H.

nium levissimæ partes essent, eas regione superiori occupata solem produxisse.

13 Talis ergo fuit sapientissimorum etiam Græciæ philosophorum, eorum saltem qui physici vocabantur, de universi constitutione, deque prima mundi procreatione disputatio, in qua nullum architectum, nullum rerum omnium effectorem posuerunt, imo ne Dei quidem mentionem ullam fecerunt, sed temerariæ cuidam agitationi,

14 ac fortuito plane motui hujus universitatis caussam assignarunt. Ac tanta quidem eorum est inter sese dissensio, ut eadem nulla prorsus in re pronuntiarint, sed contentione ac sententiarum diversitate omnia compleverint. Itaque Socrates vir ille singularis et eximius,

Xen. Mem. I. 1, 11. istos omnes vaticinari ostendebat, nihilque omnino ab insanis ac furiosis discrepare, si Xenophontem ut dignum fide testem audiamus. Sic enim in Memorabilibus ipse loquitur.

XENOΦΩΝΤΟΣ

15 Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. Οὐδὲ γὰρ περὶ τῆς ἁπάντων φύσεως, ᾗ περὶ τῶν ἄλλων, ὡς οἱ πλεῖστοι, διελέγετο, σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυε.

Καὶ ἐπιλέγει ἑξῆς·

16 Ἐθαύμαζε δὲ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα p. 26 ἀδύνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς τὰ μέγιστα φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ τὰ αὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ τὰ μὴ φοβερὰ φοβεῖσθαι· τῶν τε περὶ τῆς πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δὲ ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ πάντα b

d 8. οὐδὲ] οὐδὲν A.H. —οὔτε—οἶδεν D. οὐδὲ πράττοντος F. 11. διελέγετο] διελέγοντο D. Supra libri Xenophontis ἧπερ τῶν ἄλλων οἱ πλεῖστοι. 12. σοφιστῶν] σοφιστικῶν B.C.D.F.

p. 26. μὴ] μὲν D. 2. ἀδύνατον—ἀνθρώποις] οὐ δυνατὸν—ἄνθρωπον A.H. 3. ἐπεὶ] ἔπειτα H. τοὺς τὰ μέγιστα φρονοῦντας] τοὺς μέγιστον ἀφρονοῦντας B.C.D.F.G. 5. τοῖς μαινομένοις—ἀπόλλυσθαι om. B. 6. περὶ ἀλλήλους E. τῶν τε] τῶν δὲ F. τε om. H. qui mox om. τοὺς μέν. 9. ῥήσεως] φύσεως C.D.F.G. ῥύσεως E. 10. τὸ ὂν om. A.H.

Socrates antiquos physicos irridet.

15 Socratem vero nullus unquam impii quicquam atque nefarii aut vidit agentem, aut loquentem audivit. Neque enim de universa natura, quemadmodum plerique vulgo, disputabat, sic nimirum, ut quo pacto sese hic habeat, qui a sophistarum natione mundus vocatur, aut qua fati ac necessitatis vi cujuslibet rei cœlestis ratio teneatur, investigaret; sed eos potius qui genus hoc rerum curiosius agitarent insanire demonstrabat.

Quibus hæc subjungit.

16 Permirum autem ipsi videbatur, ne perspectum quidem illis hoc fuisse, quod eo cognitionis hominum ingenia pervenire nullo modo possint, cum ii præsertim qui sese hoc disputationis genere plurimum efferant, non in eadem opinione sententiaque versentur, sed alii cum aliis furiosorum utique more se gerant. Quippe enim ex furiosis alios esse, qui ne gravia quidem et atrocia metuant, alios vero qui ipsa quoque non metuenda extimescant: sic eorum qui naturam universi diligentius explorare conentur, alios quicquid est unum esse velle, alios infinitam rerum multitudinem in-

ΞΕΝΟΦΩΝΤΟΣ

κινεῖσθαι, τοῖς δὲ οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν ἅπαντα γίνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δὲ οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτ' ἀπόλλυσθαι.

17 Ταῦθ' ὁ Σωκράτης, ὡς ὁ Ξενοφῶν μαρτυρεῖ. Συνᾴδει δὲ καὶ ὁ Πλάτων τούτοις ἐν τῷ Περὶ ψυχῆς, τοιάδε λέγοντα αὐτὸν ἀναγράφων·

ΠΛΑΤΩΝΟΣ

Ἐγὼ γὰρ, ἔφη, ὦ Κέβης, νέος ὢν, θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν· ὑπερήφανον γάρ μοι εἶναι ἐδόκει εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίνεται ἕκαστον, καὶ διὰ τί ἀπόλλυται, καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον, c σκοπῶν πρῶτον τὰ τοιάδε· ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε ἤδη τὰ ζῶα ξυντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ, ἢ τὸ πῦρ· ἢ τούτων μὲν οὐδὲν, ὁ δ' ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ὁρᾶν καὶ ἀκούειν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ

a 12. οὐδ' ἂν] οὐδὲν ἄν A.C.F.G.H. b 5. Ξενοφῶν] ὁ Ξεν. A.H. Supra τοῦθ' H. καὶ ὁ] καὶ om. D. 6. ἐν τῷ] ἐν τοῖς C.D.G. 10. ἐδόκει εἶναι] εἶναι ἐδόκει A.H. ἐδόκει εἰδέναι D. 11. διὰ τί γίν.—ἀπόλλυται om. C. c. καὶ κάτω] καὶ om. A.H. 2. μετέβαλλον] μετέβαλον C.F.G. 3. ψυχρὸν καὶ τὸ θερμὸν] θερμὸν κ. τ. ψ. A.H. 4. τότε ἤδη] τότε om. C. 8. ἀκούειν καὶ ὁρᾶν] ὁρᾶν καὶ ἀκ. A.H.

vehere; aliis item placere continenti motu res omnes agitari, aliis contra, nullo unquam tempore moveri posse; aliis denique generari omnia ac deinceps interire, aliis vero nihil unquam vel genitum esse, vel interitu periturum.

17 Atque hæc Socrates, ut Xenophon auctor est. Quibus similia prorsus ea sunt, quæ Plato eundem Socratem in eo quem De animo scripsit dialogo ita commemorantem inducit.

Plat. Phæd. p 96 A.

Etenim mirum, inquit, O Cebes, quanta me juvenis cum essem illius cupiditas sapientiæ tenuerit, quam vulgo naturæ contemplationem appellant, quippe magnificum oppido mihi videbatur caussas nosse rerum singularum, ac cur unaquæque vel oriatur, vel intereat, vel existat, intelligere; sæpiusque adeo me sursum deorsumque versabam, cum in ejusmodi primum quæstiones incumberem: utrum scilicet, quod nonnullis placebat, ubi frigidum et calidum loci aliquid corruptioni dederint, tum demum animantia nutrimentum ac firmitatem accipiant? utrum sanguine, an aëre, an potius igne sapiamus? an vero his omnibus exclusis, uni cerebro

μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα γίνεσθαι d ΠΛΑΤΩΝΟΣ
18 ἐπιστήμην. Καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν, καὶ τὰ
[18] περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως
ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα. Τεκμήριον δέ σοι ἐρῶ ἱκανόν· ἐγὼ γὰρ ἃ καὶ πρότερον σαφῶς ἠπιστάμην, ὥς γε ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἐδόκουν, τότε ὑπ' αὐτῆς τῆς σκέψεως οὕτω σφόδρα ἐτυφλώθην, ὥστε ἀπέμαθον καὶ ταῦθ', ἃ πρὸ τοῦ ᾤμην εἰδέναι.

19 Ταῦτα Σωκράτης αὐτὸς ἐκεῖνος ὁ πᾶσιν ἀοίδιμος Ἕλλησιν. Ὅτε τοίνυν καὶ τῷ τηλικούτῳ φιλοσόφῳ τοιάδε εἶναι ἐδόκει τὰ τῆς τῶν δηλωθέντων φυσιολογίας, εἰκότως μοι δοκῶ καὶ ἡμᾶς τὴν τούτων ἁπάντων ἀθεό- p. 27
τητα παρῃτῆσθαι, ἐπεὶ καὶ τὰ τῆς πολυθέου πλάνης αὐτῶν οὐκ ἔοικεν εἶναι ἀλλότρια τῶν εἰρημένων. Τοῦτο μὲν οὖν ἐπὶ καιροῦ τοῦ προσήκοντος ἐλεγχθήσεται, καθ' ὃν ἀποδείξομεν, ὅτι πρῶτος Ἑλλήνων Ἀναξαγόρας νοῦν ἐπιστῆσαι τῇ τοῦ παντὸς αἰτίᾳ μνημονεύεται.

d. φθορᾶς] φορᾶς F. 2. τε καὶ] δὲ καὶ A.H. 9. ἐτυφλώθην] ἐτυφλώθη C. ὥστε] ὡς A. 10. προτοῦ] πρὸ τούτου A.H. Theodoret. p. 23, 15. πρὸ τοῦ C. 11. αὐτὸς] om. D. Mox ἐκεῖνος καὶ Πλάτων οἱ πᾶσιν ἀοίδιμοι H. pen. ἐδόκει εἶναι] εἶναι ἐδόκει A.H.
p. 27. 3. εἰρημένων] εἰρημένων αὐτῶν H.

audiendi, videndi, atque odorandi sensuum origo debeatur: sic ut ex iis memoria simul et opinio, ex utraque autem, ubi placide quieteque consti-
18 terint, cum iisdem cohærens scientia generetur? Cumque vicissim rerum earundem interitus, quæque tam in cœlo quam in terra vulgo contingunt mecum ipse reputarem, demum ita me ad hoc contemplationis genus ineptum, ut qui maxime, esse judicavi. Cujus rei hoc tibi argumentum instar omnium proferam; quod quæ mihi prius ac cæteris optime videbar intelligere, eadem postmodum omnia dediscerem; tantum illa ipsa contemplatio mihi cæcitatis offuderat.

19 Hæc Socrates ille Græcorum omnium ore famaque celebratus. Quare cum ea tanti philosophi de illorum omnium, quos ante commemoravimus, physiologia mens et sententia fuerit; jure quoque sentio nos ab istorum negatæ divinitatis scelere declinasse: præsertim cum ipsorum de multitudine deorum error ab iis, quæ de universi ortu somniarunt, nequaquam alienus esse videatur. Cæterum id suo loco manifeste deprehendetur, ubi principem Græcorum Anaxagoram, qui Mentem hujus universitatis molitioni præfecerit, laudari

Νῦν δέ μοι ἐπὶ τὸν Διόδωρον μετάβα, καὶ σκόπει οἷα περὶ τῆς πρώτης τῶν ἀνθρώπων θεολογίας ἱστορεῖ.

ΔΙΟΔΩΡΟΥ

9 Τοὺς δ' οὖν κατ' Αἴγυπτον ἀνθρώπους τὸ παλαιὸν γενομένους ἀναβλέψαντας εἰς τὸν κόσμον, καὶ τὴν τῶν ὅλων c φύσιν καταπλαγέντας τε καὶ θαυμάσαντας, ὑπολαβεῖν εἶναι δύο θεοὺς ἀϊδίους τε καὶ πρώτους τόν τε ἥλιον καὶ τὴν σελήνην, ὧν τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν ὀνομάσαι, ἀπό τινος ἐτύμου
2 τεθείσης ἑκατέρας τῆς προσηγορίας. Μεθερμηνευομένων γὰρ τούτων εἰς τὸν Ἑλληνικὸν τῆς διαλέκτου τρόπον, εἶναι μὲν τὸν Ὄσιριν πολυόφθαλμον· εἰκότως· πάντῃ γὰρ ἐπιβάλλοντα τὰς ἀκτῖνας ὥσπερ πολλοῖς ὀφθαλμοῖς βλέπειν ἅπασαν γῆν καὶ θάλατταν· καὶ τὸν ποιητὴν δὲ λέγειν σύμφωνα τούτοις,

Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.

3 Τῶν δὲ παρ' Ἕλλησι παλαιῶν μυθολόγων τινὲς τὸν Ὄσιριν d

a 7. ἐπὶ τὸν Διόδωρον] ἐπὶ τοῦτο A.H. c 3. θεοὺς] δύο θεοὺς A.H. 6. ἐτύμου] ἑτοίμου A.E. ἑκατέρας τῆς προσηγορίας] ἑκατέρῳ προσ. B.C.F.G. 7. μεθερμηνευόντων] μεθερμηνευομένων C.D.F.G.H. 9. τὸν Ὄσιριν] τὸν μὲν Ὄσ. A.H. παντὶ] πάντῃ A.H. Vigeri marg. 10. ἐπιβάλλοντα] ἐπιβαλόντα C.G. ὀφθαλμοῖς πολλοῖς] πολλοῖς ὀφθαλμοῖς A.H. Mox τὴν ante γῆν H. 11. θάλασσαν] θάλατταν A. 13. ἥλιος] ἠέλιος D.G. ἐφορᾷ—ἐπακούει] ἐφορᾷς—ἐπακούεις A.H. d. πάλαι] παλαιῶν A.C.D.F.G.H. 2. προσαγορεύουσι] προσονομάζουσιν A.C.D.F.G.H.V. 3. ὧν] ὡς H.

ostendemus. Nunc vero transfer animum sis ad Diodorum, quæque de prima hominum theologia memoriæ prodidit, considera.

Diod. Sic. I. 11.

Ægyptios olim astra coluisse.

9 Priscos Ægyptios ferunt, cum oculos hujus in mundi contemplatione defixissent, cumque rerum omnium naturam vehementiori admiratione obstupescerent, solem ac lunam sempiternos esse deos omniumque principes censuisse; quorum alterum Osirin, alteram Isin, ex certa quadam
2 notatione, utriusque nominis ratione ducta, nuncuparint. Etenim, si vocum istarum significationem Græcæ linguæ verbis exprimamus, Osirin quidem aliud esse nihil, quam multis oculis præditum: nec immerito sane, cum ipse radiis omnem in partem longe lateque diffusis, sic tanquam pluribus oculis terram simul ac mare lustret universum. Quibuscum illud etiam poëtæ consentiat,

Sol qui cuncta procul cernitque auditque per orbem.

3 Quanquam prisci quidam apud Græcos fabularum inventores eundem Osirin, et Bacchum, et vero similitudine quadam atque affinitate nominis

Διόνυσον προσονομάζουσι καὶ Σείριον παρωνύμως. Ὧν Εὔμολπος μὲν ἐν τοῖς Βακχικοῖς ἔπεσί φησιν, ΔΙΟΔΩΡΟΥ

> Ἀστροφαῆ Διόνυσον ἐν ἀκτίνεσσι πυρωπόν.

Ὀρφεὺς δὲ,

> Τοὔνεκά μιν καλέουσι Φάνητά τε καὶ Διόνυσον.

Φασὶ δέ τινες καὶ τὸ ἔναμμα αὐτῷ τὸ τῆς νεβρίδος ἀπὸ τῆς
4 τῶν ἄστρων ποικιλίας περιῆφθαι. Τὴν δὲ Ἶσιν μεθερμηνευομένην εἶναι παλαιὰν, τεθειμένης τῆς προσηγορίας τῇ σελήνῃ ἀπὸ τῆς ἀϊδίου καὶ παλαιᾶς γενέσεως· κέρατα δ' αὐτῇ περιτιθέασιν ἀπό τε τῆς ὄψεως, ἣν ἔχουσα φαίνεται καθ' ὃν ἂν χρόνον ὑπάρχῃ μηνοειδής, καὶ ἀπὸ τῆς καθιερωμένης αὐτῇ p. 28 βοὸς παρ' Αἰγυπτίοις. Τούτους δὲ τοὺς θεοὺς ὑφίστανται τὸν σύμπαντα κόσμον διοικεῖν.

5 Τοιαῦτα μὲν οὖν καὶ ταῦτα. Ἔχεις δὲ καὶ ἐν τῇ Φοινικικῇ θεολογίᾳ, ὡς ἄρα Φοινίκων οἱ πρῶτοι φυσικοὶ ἥλιον σελήνην καὶ τοὺς λοιποὺς πλανήτας ἀστέρας καὶ

d 3. σύριον] σίριον A. Vigeri marg. σείριον B.C.D.G. 5. διόνυσον] διόνυσσον hic et infra A. πυρωπὸν] πυρωτὸν C. pen. ἀπό τε] τε om. H. ult. ὑπάρχῃ] ὑπάρχοι B. ὑπάρχει E.
p. 28. 4. οὖν καὶ om. C. οὖν om. D.F.G.H. φοινικικῇ] φοινικῇ B.C.D.F.G. 6. ἥλιον καὶ] καὶ om. A.C.F.G. ἡ. καὶ τὴν σελήνην καὶ τοὺς πλανήτας τοὺς λοιποὺς H.

Sirium appellarunt. Ex quibus Eumolpus in Bacchicis carminibus ita cecinit,

> More astri Bacchum vultu flagrante micantem.

Orpheus autem sic,

> Ergo Phanetem ipsum, vel Bacchum nomine dicunt.

Quinetiam addunt nonnulli, ex siderum varietate ortum hunc esse morem,
4 ut idem adstrictam nodo hinnuli pellem circumferret. Isin vero, antiquam, significare aiunt, quo nomine Luna propter antiquissimum ac sempiternum ortum appellata fuerit. Cornua porro eidem affigunt, partim ea figura permoti, quam sub accretionem diminutionemve luminis cornuum instar curvatam ostendit, partim quod ei vacca sit apud Ægyptios consecrata. Cæterum geminos hosce Deos mundum universum moderari docent.

5 Ac de Ægyptiis quidem hæc a nobis dicta sunto. Jam in Phœnicum etiam theologia reperias, qui principes apud illos naturalis sese philosophiæ studio dediderunt, eos solem pariter atque lunam, Nec minus Phœnices.

*τὰ στοιχεῖα καὶ τὰ τούτοις συναφῆ θεοὺς μόνους ἐγίνω-
σκον, καὶ ὅτι τούτοις οἱ παλαίτατοι τὰ τῆς γῆς ἀφιέρω-
σαν βλαστήματα, καὶ θεοὺς ἐνόμισαν, καὶ προσεκύνουν
ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγίνοντο, καὶ οἱ ἑπόμενοι, καὶ* b
*οἱ πρὸ αὐτῶν πάντες, καὶ χοὰς καὶ ἐπιχύσεις ἐτέλουν·
ἔλεον δὲ καὶ οἶκτον καὶ κλαυθμὸν βλαστήματι γῆς
ἀπιόντι καθιέρουν, καὶ γενέσει ζώων ἐκ γῆς πρώτῃ, καὶ
τῇ ἐξ ἀλλήλων, καὶ τελευτῇ, καθ' ἣν τοῦ ζῆν ἀπήρ-*
6 *χοντο.* Αὗται *δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως
ὅμοιαι τῇ αὐτῶν ἀσθενείᾳ, καὶ ψυχῆς ἔτι ἀτολμίᾳ.*
Ταῦτα *καὶ ἡ* Φοινίκων *γραφὴ, ὡς ἑξῆς ἀποδειχθήσεται.*
[19] Ἀλλὰ *καὶ τῶν καθ' ἡμᾶς γεγονὼς αὐτὸς ἐκεῖνος, ὁ ταῖς
καθ' ἡμῶν λαμπρυνόμενος δυσφημίαις, ἐν οἷς ἐπέγραψε* c
Περὶ *τῆς τῶν ἐμψύχων ἀποχῆς, καὶ τῶν παλαιῶν ἀρ-*

a 8. *μόνον*] *μόνους* A.H. 9. *τὰ τῆς*] *τὰ* om. A.H. In H. item *παλαιότατοι.* 10. *ἐνόμισαν*] *ἐνόμησαν* C. *προσεκύνουν*] *προσεκύνησαν* H. 11. *αὐτοί τε*] *αὐτοὶ καὶ* A.H. b. *πρὸ αὐτῶν*] *πρὸς αὐτῶν* D. 2. *ἐπιχύσεις*] *ἐπιθύσεις* A. *ἐχύσεις* C. Tum *ἐπετέλουν* C.D.S.V. 3. *βλαστήματι*] *καὶ βλαστήματα* A.H. *βλαστήματα* F. 5. *καὶ τῇ*] *καὶ* om. C. F.G. 6. *αἱ ἐπίν.*] *αἱ* om. H. 8. *ταῦτα καὶ*—*Θεόφραστος* om. B. c 2. *ἐμψύχων ἀπ. καὶ τῶν* om. A.H. *ἀποχῆς τῆς τῶν* C.F.G. *ἀρχαιότητος*] *ἀρχαιότατος* (τη *superscr.*) D.

cæterasque stellas inerrantes, elementa præterea, quæque cum iis conjuncta sunt deorum in loco tantum habuisse. Iisdem porro mortales vetustissimos terræ germina dedicasse, quibus divinitatem ipsi quoque cum adorationis cultu tribuebant, quibus cum vitam ipsimet adhuc tolerabant, tum eorum non posteri modo, sed etiam majores in inferiis ac libationibus solenni ritu perficiendis uti consuevere. Misericordiam autem, commiserationem et luctum senescenti terræ germini, primæ animantium ex terra procreationi, ac simul eorum ex mutua congressione generationi, mortique adeo ipsi per
6 quam hac vita defungerentur, consecrabant. Ejusmodi erant divini cultus notiones hominum istorum imbecillitati, et angustis adhuc pusillisque animis congruentes. Atque hæc Phœnicum etiam libris, ut deinceps ostendemus, continentur. Quinetiam ille ipse qui nostra memoria vixit, quique evomendis in nos contumeliis atque maledictis famam sibi nomenque conficit, in iis quos *De vitando rerum animatarum usu*

χαιότητος τὴν μνήμην ὧδέ πως αὐτολεξεὶ, Θεοφράστῳ μάρτυρι χρώμενος, παρατίθεται·

7 Ἀνάριθμος μέν τις εἶναι ἔοικε χρόνος, ἀφ' οὗ τόγε πάντων λογιώτατον γένος, ὥς φησι Θεόφραστος, καὶ τὴν ἱερωτάτην ὑπὸ τοῦ Νείλου κτισθεῖσαν χώραν κατοικοῦν, ἤρξαντο οἱ πρῶτοι ἀφ' ἑστίας τοῖς οὐρανίοις θεοῖς θύειν, οὐ σμύρνης οὐδὲ κασίας καὶ λιβανωτοῦ κρόκῳ μιχθέντων ἀπαρχάς· (πολλαῖς γὰρ γενεαῖς ὕστερον παρελήφθη ταῦτα, καὶ πλάνης μαστὴρ d ὁ ἄνθρωπος γιγνόμενος τῆς ἀναγκαίας ζωῆς μετὰ πολλῶν πόνων καὶ δακρύων σταγόνας τούτων ἀπήρξατο τοῖς θεοῖς·)

8 οὐ τούτων οὖν ἔθυον πρότερον, ἀλλὰ χλόης οἱονεί τινα τῆς γονίμου φύσεως χνοῦν ταῖς χερσὶν ἀράμενοι. Δένδρα μὲν γὰρ δὴ πρὸ ζώων ἀνέδωκεν ἡ γῆ, τῶν δένδρων δὲ πολὺ πρόσθεν τὴν ἐπέτειον γεννωμένην πόαν· ἧς δρεπόμενοι φύλλα καὶ ῥίζας καὶ τοὺς ὅλους τῆς φύσεως αὐτῶν βλαστοὺς κατέκαιον, ταύτῃ τοὺς φαινομένους οὐρανίους θεοὺς τῇ θυσίᾳ δεξιούμενοι,

ΠΟΡΦΥΡΙΟΥ

c 3. μνήμην ὧδέ πως] μνήμην πῶς A.H. 4. παρατίθεται] παρατέθειται C.D.E.F.G. 5. ἀνάριθμος] ἀνήριθμος A. et mox ἔοικεν εἶναι cum H. 6. λογιώτατον] λογικώτατον D. 7. καὶ τὴν] ἀλλὰ δὴ καὶ τὴν B. 8. κατοικοῦν] κατοικεῖν A.B.C.D.F.G.H. 9. ἐφ' ἑστίας] ἀφ' ἑστίας C.F.G. οὐρανίοις] ἐν οὐρανοῖς B.C.F.G. 10. λιβανωτοῦ] λιβανωτῷ C. 11. γὰρ γενεαῖς ὕστερον] γενεαῖς ὕστερα A.H. d. ἐρευνητὴς μαστὴρ] ἐρευνητὴς om. B.C.D.F.G. 4. ἀπήρξατο] τούτων ἀπ. B.D.F.G.H.V. γρ. αὐτῶν S. 5. χλόης] χόλης F. 6. τινα] τινας A. 7. γὰρ δὴ] δὴ om. A.H. qui mox ἤδη pro ἡ γῆ. τῶν. 9. γινομένην] γεννωμένην A. γενομένην B.C.D.F.G.H. 11. ταύτῃ τοὺς] ταύτῃ μὲν γὰρ D.

conscripsit, priscæ illius veterum consuetudinis, laudato Theophrasti testimonio, meminit his omnino verbis.

7 Infinitum plane videtur fluxisse tempus, ex quo genus hominum longe sapientissimum, ut loquitur Theophrastus, sanctissimam illam et a Nilo conditam regionem incoleret, ad focum domesticum sacra diis cœlestibus facere cœpit, non myrrhæ, non casiæ thurisque cum croco mixtorum primitiis: (neque enim istorum usus nisi post multas ætates fuit, cum homo curiosus erroris indagator effectus, post multorum laborum atque

8 lachrymarum guttas, necessariæ vitæ primitias diis obtulit;) non illarum, inquam, rerum, sed virentis herbæ, cujus sic tanquam naturæ genitalis primævam quandam lanuginem manibus sublatam offerebat. Quippe enim priores animantibus arbores, multoque ante ipsas gramen annuum terra procreavit, cujus folia radicesque carpentes cum integris earum naturæ germinibus veteres illi comburebant, eoque sacrificii genere qui cœlestes dii videbantur sibi conciliabant, atque sempiternos ignis

Antiqua sacrificandi ratio ex Porphyrio Abst. II. 5.

ΠΟΡΦΥΡΙΟΥ

9 καὶ τοῦ πυρὸς ἀπαθανατίζοντες αὐτοῖς τὰς τιμάς. Τούτοις γὰρ καὶ τὸ πῦρ ἀθάνατον ἐφύλαττον ἐν τοῖς ἱεροῖς, ὡς ὂν μάλιστα αὐτοῖς ὁμοιότατον. Ἐκ δὲ τῆς θυμιάσεως τῶν p. 29 ἀπὸ γῆς θυμιατήριά τε ἐκάλουν, καὶ τὸ θύειν, καὶ θυσίας, ἃ δὴ ἡμεῖς ὡς τὴν ὑστέραν πλημμέλειαν σημαίνοντα οὐκ ὀρθῶς ἐξακούομεν, τὴν διὰ τῶν ζώων δοκοῦσαν θεραπείαν
10 καλοῦντες θυσίαν. Τοσοῦτον δὲ τοῖς παλαιοῖς τοῦ μὴ παραβαίνειν τὸ ἔθος ἔμελεν, ὡς κατὰ τῶν ἐκλειπόντων τὸ ἀρχαῖον, ἐπεισαγόντων δὲ ἕτερον, ἀρασαμένους, ἀρώματα τὰ θυμιώμενα προσαγορεῦσαι.

11 Ταῦτα εἰπών, ἐπιλέγει μεθ' ἕτερα· b

Πόρρω δὲ τῶν περὶ τὰς θυσίας ἀπαρχῶν τοῖς ἀνθρώποις προϊουσῶν παρανομίας, ἡ τῶν δεινοτάτων θυμάτων παράληψις ἐπεισήχθη ὠμότητος πλήρης· ὡς δοκεῖν τὰς πρόσθεν

d 13. ἀπαθανατίζοντες αὐτοῖς] αὐτοῖς ἀπ. A.H. 14. ἐφύλαττον ἀθάνατον] ἀθάν. ἐφύλ. A.C.F.G.H. 15. ὡς ὂν] ὅσον A.H. ὡς ἂν C. ὁμοιότατον. ἐκ δὲ] ὁμοιότητα, καὶ δὲ F.

p. 29. θυμιατήριά] θυμιάτερά V. et γρ. S. 2. καὶ τὸ θυσιάσαι] καὶ θυσίας B.C.D.F.G. τὸ om. E. κ. τ. θυσιᾶσαι δ' ἡμεῖς A. 3. ἃ δὴ ἡμεῖς] ἃ δὴ ἡμᾶς C. δ' ἡμεῖς H. 5. καλοῦντες θυσίαν om. A.H. Mox ἀρασαμένοις H. 7. ἔθος ἔμελεν] ἔθνος ἤμελλεν C. ἔμελλεν D. ἤμελλεν F.G. b. εἰπὼν] ἐπιὼν B.F.G.V. et γρ. S. 3. προϊουσῶν] ποιουσῶν F. 5. πρόσθεν λεχθείσας] προσθελχθείσας H.

9 honores ipsorum divinitati consecrabant. Nam illis etiam ignem conservabant suis in templis immortalem, quod iisdem simillimus esse videretur. Cæterum ex illa rerum quas terra produxerat *ἀναθυμιάσει*, has subinde voces *θυμιατήρια, θύειν, θυσίασαι* effinxerunt, quibus nos perinde ac si novum hoc improbitatis genus significarent, alieno plane sensu abutimur, dum fallacem hunc cultum, qui animantium immolatione perficitur, *θυσίαν*
10 appellamus. Ac prisci quidem illi homines, ne quid adversus hunc ritum peccaretur, tanto studio tantaque diligentia providebant, ut quod in eos, qui rejecto vetere instituto novum aliquod inveherent, *ἠράσαντο*, hoc est diras effunderent, *ἀρώματα τὰ θυμιώμενα*, id est suffitiones ipsas, imprecationes dirasque nominarent.

11 Quibus, post alia quædam, hæc subjicit:

Ibid. c. 7.

Ubi autem illæ sacrificiorum primitiæ in majorem impietatem hominum vitio prorupissent, tandem usus teterrimarum victimarum crudelitate plenus invaluit, ut quas ante conceptas nostrum in caput imprecationes diximus, eæ hoc demum tempore, quo homines ipsi vivas ac spirantes

λεχθείσας καθ' ἡμῶν ἀρὰς νῦν τέλος εἰληφέναι, σφαξάντων τῶν ἀνθρώπων, καὶ τοὺς βωμοὺς αἱμαξάντων.

ΠΟΡΦΥΡΙΟΥ

12 Τοσαῦτα καὶ ὁ Πορφύριος, οὐ μᾶλλον ἢ ὁ Θεόφραστος. Ἐπισφράγισμα τοῦ λόγου γένοιτ' ἂν ἡμῖν ὁ Πλάτων ἐν Κρατύλῳ, πρόσθεν τῶν εἰρημένων αὐτῷ c περὶ τῶν Ἑλλήνων ὧδέ πη φάσκων πρὸς ῥῆμα·

ΠΛΑΤΩΝΟΣ

Φαίνονταί μοι οἱ πρῶτοι τῶν ἀνθρώπων τῶν περὶ τὴν Ἑλλάδα τούτους μόνους θεοὺς ἡγεῖσθαι, οὕσπερ νῦν πολλοὶ τῶν βαρβάρων, ἥλιον καὶ σελήνην καὶ γῆν καὶ ἄστρα καὶ οὐρανόν· ἅτε οὖν αὐτὰ ὁρῶντες πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ θέοντα, ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν θεοὺς αὐτοὺς ἐπονομάσαι.

13 Ἀλλ' ὅτι μὲν οἱ πρῶτοι καὶ παλαίτατοι τῶν ἀνθρώ- d πων οὔτε ναῶν οἰκοδομίαις προσεῖχον οὔτε ξοάνων ἀφιδρύμασιν, οὔπω τότε γραφικῆς οὐδὲ πλαστικῆς ἢ γλυπτικῆς ἢ ἀνδριαντοποιητικῆς τέχνης ἐφευρημένης,

b 6. λεχθείσας] ῥηθείσας C.D.F.G. 9. ἐπισφρ.] ἐπισφρ. δὲ H. 11. πρόσθεν] προύσθεν C. c 3. τῶν περὶ] τῶν om. A.H. τούτους] τουτέστι B. 4. θεοὺς] τοὺς θεοὺς A.H. Mox ὥσπερ νῦν H. 5. ἥλιον] ἥλιόν τε A.H. Mox τὰ ἄστρα A. 8. θεῖν] om. A. sed θέειν suprasc. 9. παλαιότατοι] παλαίτατοι D.E. d 3. ἢ γλυπτικῆς om. A.H. ἢ pro οὐδὲ D. Supra ἢ πώποτε E.

animantes jugulant, earumque sanguine altaria cruentant, exitum sortitæ videantur.

12 Hæc ipse quoque Porphyrius, nec suo magis quam Theophrasti ore commemorat. Plato denique sermonem hunc nobis auctoritatis suæ veluti sigillo concludat. Is enim in Cratylo ante ea quæ de Græcis ipsis disputat, sic ad verbum loquitur.

Græcos etiam olim astra sola pro diis habuisse. Plat. Crat. p. 397 c.

Mihi quidem illi homines videntur, qui Græciam primi tenuerunt, eos tantum deos censuisse, quos nunc barbarorum plerique colunt, solem nimirum, lunam, terram, astra, cœlum: quæ cum ipsi viderent omnia continenti cursu ferri, eadem ab illa, τοῦ θεῖν, hoc est cursus ejusmodi natura, θεοὺς, deos nominarint.

13 Ac primos illos quidem et vetustissimos homines nihil vel in templis extruendis, vel in erigendis simulacris operæ ac studii posuisse, cum necdum istæ pingendi, fingendi, cœlandi, statuas efficiendi, ac ne domos quidem tectaque ædificandi artes inventæ ac constitutæ

οὐδὲ μὴν οἰκοδομικῆς οὐδὲ ἀρχιτεκτονικῆς πως συνεστώσης, παντί τῳ οἶμαι συλλογιζομένῳ δῆλον εἶναι.

14 Ὅτι δὲ οὐδὲ τῶν μετὰ ταῦτα κατωνομασμένων θεῶν τε καὶ ἡρώων μνήμη τις τοῖς τότε παρῆν, οὔτ' οὖν τις ἦν αὐτοῖς Ζεὺς, οὐ Κρόνος, οὐ Ποσειδῶν, οὐκ Ἀπόλλων, οὐχ Ἥρα, οὐκ Ἀθηνᾶ, οὐ Διόνυσος, οὐδέ τις ἕτερος θήλειά τε καὶ ἄρρην θεὸς, οἷοι μετὰ ταῦτα μυρίοι παρά τε βαρβάροις καὶ Ἕλλησιν, ἀλλὰ οὐδὲ δαίμων τις ἀγαθὸς ἢ φαῦλος ἐν ἀνθρώποις ἐθαυμάζετο, μόνα δὲ τὰ φαινόμενα τῶν οὐρανίων ἄστρων, παρὰ τὸ θέειν, ὅπερ ἐστὶ τρέχειν, θεῶν τε προσηγορίας, ὡς αὐτοί φασιν, p. 30 ἐτύγχανον, καὶ οὐδὲ ταῦτα ταῖς διὰ ζώων θυσίαις καὶ [20] ταῖς μετὰ ταῦτα περινοηθείσαις τιμαῖς ἐθρησκεύετο, οὐχ ἡμέτερος ὁ λόγος, οἴκοθεν δὲ καὶ ἐξ αὐτῶν Ἑλλήνων ἡ μαρτυρία, διὰ τῶν προτεθειμένων φωνῶν καὶ τῶν αὖθις ἑξῆς παρατεθησομένων τὴν ἀπόδειξιν παρασχομένη.

d 6. συνεστώσης] πως συνεστ. A.H. 7. συλλογιζομένῳ] λογιζομένῳ D. δῆλον εἶναι] εἶναι δῆλον B. 10. Ζεὺς] ὁ Ζεὺς A.H. Mox καὶ Κρόνος—οὐδ' Ἀπόλλων A.H. 12. ἄρρην θεὸς οἷοι] ἄρρην ἢ οἱ A.H. 13. παρά τε] τε om. B. 17. θέειν] θυειν[ει] D.
p. 30. θεῶν τε] θεῶν δὲ A. 2. ἐτύγχανε] ἐτύγχανον A.C.D.F.G.H.

14 essent, cuivis, opinor, rem apud se reputanti facile constabit. Quod autem nec ipsorum, qui dii postea vel heroes appellati sunt, ulla apud eosdem mentio fuerit; quodque nec Jovem, aut Saturnum, aut Neptunum, aut Apollinem, aut Junonem, aut Palladem, aut Bacchum, aut alium omnino deum, seu mas foret, seu fœmina, quales infiniti postea cum apud barbaros, tum apud Græcos passim extiterunt, agnoscerent: imo, quod nullus tum inter homines seu bonus, seu malus dæmon celebraretur: sed illa tantum quæ in cœlo apparebant astra, παρὰ τὸ θέειν, id est a currendo, θεῶν, hoc est deorum nomen, ut ipsimet aiunt, obtinerent: denique, quod ne illa quidem animantium immolationibus, aut iis qui postea sunt excogitati superstitiosis honoribus colerentur; non jam oratione nostra, sed domestico gentilium ipsorum testimonio, quod certam ex disertis eorum verbis quæque citavimus antea, quæque suis postea locis subjiciemus,

15 Τοῦτο δὲ καὶ οἱ ἱεροὶ καθ' ἡμᾶς διδάσκουσι λόγοι, πᾶσι
μὲν τοῖς ἔθνεσι τὸ καταρχὰς τὴν τῶν ὁρωμένων φωστή-
ρων τιμὴν ἀπονενεμῆσθαι περιέχοντες, μόνῳ δὲ τῷ
Ἑβραίων γένει τὴν ἐποπτείαν ἀνατεθεῖσθαι [τῆς θεω- b
ρίας] τοῦ τῶν ὅλων ποιητοῦ τε καὶ δημιουργοῦ Θεοῦ, καὶ
16 τῆς εἰς αὐτὸν ἀληθοῦς εὐσεβείας. Οὐκ ἄρα τις ἦν θεο-
γονίας Ἑλληνικῆς ἢ βαρβαρικῆς τοῖς παλαιτάτοις τῶν
ἀνθρώπων λόγος, οὐδὲ ξοάνων ἀψύχων ἵδρυσις, οὐδ' ἡ
νῦν πολυφλυαρία τῆς τῶν θεῶν ἀρρένων τε καὶ θηλειῶν
17 κατονομασίας. Αἱ γοῦν προσηγορίαι καὶ τὰ ὀνόματα
ἐξ ἀνθρώπων ὕστερον ἐφευρημένα οὔπω τότε ἐν ἀνθρώ-
ποις ἐγνωρίζετο· ἀλλ' οὐδὲ δαιμόνων καὶ πνευμάτων
ἀφανῶν ἀνακλήσεις, οὐκ ἔκτοποι περὶ θεῶν καὶ ἡρώων c
μυθολογίαι, οὐκ ἀπορρήτων τελετῶν μυστήρια, οὐδ'

a 9. μὲν τοῖς] μὲν γὰρ τοῖς C.F.G. 10. τὸ κατα.] τὸ om. A.H. 11. ἀπονενεμῆσθαι περιέχοντες] τὴν ἀπόδειξιν ἔχοντες B. 12. ἐποπτείαν] ἐσόπτειαν C. Supra Ἑβραίῳ F. b. τῆς θεωρίας om. A.H. ποιητοῦ καὶ] ποιητοῦ τε καὶ F.G.H. 4. βαρβαρικῆς] βαρβάρου B.D.E. βαρβάρων C.F.G. παλαιτάτοις] παλαιοτάτοις A. 5. ξοάνων] ξοάνων ἀψύχων A.H. ἵδρυσις] ἱδρύσεις D.F.G. 6. πολλὴ φλυαρία] πολυφλυαρία A.H. Tum τῆς om. C.G. 7. κατονομασίας] ὀνομασίας A.H. 9. ἐφευρημένα] ἐφευρητὰ B. εὑρημένα D. 10. δαιμόνων καὶ om. D. 11. ἀφανῶν om. H. c. μυθολογίαι] θεολογίαι B.C.F.G.V. γρ. S. 2. τελετῶν] τελεταὶ C.F.G. καὶ τελετῶν E.

15 probationem suppeditat, plane conficimus. Quanquam divinæ etiam Christianæ religionis literæ hoc ipsum docent, quibus continetur, gentibus quidem universis eorum quæ sub aspectum cadunt siderum attributum initio cultum fuisse, uni autem Hebræo populo singularem quandam et eximiam cum hujus universi effectoris ac molitoris Dei, tum etiam veræ adversus eum pietatis notitiam præcipuo munere
16 beneficioque concessam. Quare nulla plane apud antiquissimos homines sive Græcorum, sive barbarorum theogoniæ mentio, nullus statuendorum simulacrorum usus, nulla quæ multa nunc est in ista deorum partim marium, partim fœminarum appellatione nugarum
17 vanitas. Nec enim illius ætatis hominibus nota erant, quæ postea ex mortalium ipsorum turba petita confictaque nomina; imo ne dæmonum quidem spirituumve sensus fugientium invocationes, nec absurdæ ineptæque de diis et heroibus fabulæ, nec arcanarum et infandarum initiationum mysteria, nec ullum omnino multiplicis ac

Simulachra olim nulla.

ὅλως τι τῆς πολλῆς καὶ ἀδολέσχου τῶν μετέπειτα ἀν-
18 δρῶν δεισιδαιμονίας. Ἀνθρώπων ἄρα ταῦτα ἦν εὑρή-
ματα, καὶ θνητῆς φύσεως ἀναπλάσματα, μᾶλλον δὲ τρόπων αἰσχρῶν καὶ ἀκολάστων ἐπιτεχνήματα, κατὰ τὸ παρ' ἡμῖν θεῖον λόγιον τὸ φάσκον, Ἀρχὴ πορνείας, ἐπίνοια
19 εἰδώλων. Ἡ γοῦν τῶν ἐθνῶν ἁπάντων πολύθεος πλάνη μακροῖς ὕστερον αἰῶσι πέφανται, ἀρξαμένη μὲν ἀπὸ Φοινίκων καὶ Αἰγυπτίων, διαβᾶσα δὲ ἐκ τούτων ἐπί τε d
τὰ λοιπὰ ἔθνη, καὶ μέχρις αὐτῶν Ἑλλήνων. Ὡς καὶ τοῦτο πάλιν ἡ τῶν παλαιτάτων ἱστορία κατέχει, ἣν καὶ αὐτὴν ἐπισκέψασθαι καιρὸς ἀπὸ τῶν Φοινικικῶν ἀρξαμένους.

20 Ἱστορεῖ δὲ ταῦτα Σαγχουνιάθων, ἀνὴρ παλαίτατος, καὶ τῶν Τρωϊκῶν χρόνων, ὥς φασι, πρεσβύτερος, ὃν καὶ ἐπ' ἀκριβείᾳ καὶ ἀληθείᾳ τῆς Φοινικικῆς ἱστορίας

c 5. ἦν ταῦτα] ταῦτα ἦν A.H. 8. παρ' ἡμῖν θεῖον] παρ' ἡμῶν ὅσιον A.H. Mox τὸ om. B.C.F.G. d. δὲ ἐκ] τε ἐκ B.C.D.F.G. 2. ἐπὶ τὰ] ἐπί τε τὰ A.C.F.G.H. 3. τοῦτο] τούτων B.C.D.F.G. 5. φοινικικῶν] φοινίκων C. φοινικῶν F.G. 7. δὲ] δὴ A.H. Mox παλαιότατος A.H. 10. πρεσβύτερος] πρεσβύτατος A.H. ὃν καὶ] οὗ καὶ C.

11. Φοινικικῆς] φοινικῆς A.C.F.G. φοινίκων (η suprascr.) D.

stolidæ eorum qui sequuti sunt hominum superstitionis vestigium
18 cernebatur. Sunt hæc nimirum ab hominibus excogitata commenta, sunt mortalis naturæ fictiones, vel potius turpis ac flagitiis perditæ vitæ artes; id quod illius etiam divini oraculi fide comprobatur,
Sap. 14, 12. 19 *Initium fornicationis, exquisitio idolorum.* Maneat igitur hunc omnium gentium de multitudine deorum errorem non nisi post longam ætatum seriem extitisse, qui cum a Phœnicibus et Ægyptiis initium habuisset, ab iis in reliquas postmodum nationes ad ipsos usque Græcos sese propagarit. Atque id ipsum præterea vetustissimæ historiæ monimenta declarant, quam utique jam tempus est, ducto ab Phœniciis initio propius intueri.

20 Res autem istas Sanchuniatho quidam memoriæ prodidit vir antiquissimus, quemque ante Trojana tempora floruisse, summaque cum diligentiæ, tum veritatis laude Phœnicum historiam scripsisse testan-

ἀποδεχθῆναι μαρτυροῦσι. Φίλων δὲ τούτου πᾶσαν τὴν συγγραφὴν ὁ Βύβλιος, οὐχ ὁ Ἑβραῖος, μεταβαλὼν ἀπὸ τῆς Φοινίκων γλώσσης ἐπὶ τὴν Ἑλλάδα φωνὴν ἐξέδωκε. Μέμνηται τούτων ὁ καθ' ἡμᾶς τὴν καθ' ἡμῶν πεποιη- p. 31
μένος συσκευὴν, ἐν τετάρτῳ τῆς πρὸς ἡμᾶς ὑποθέσεως, ὧδε τῷ ἀνδρὶ μαρτυρῶν πρὸς λέξιν·

ΠΟΡΦΥΡΙΟΥ

21 Ἱστορεῖ δὲ τὰ περὶ Ἰουδαίων ἀληθέστατα, ὅτι καὶ τοῖς τόποις καὶ τοῖς ὀνόμασιν αὐτῶν τὰ συμφωνότατα, Σαγχουνιάθων ὁ Βηρύτιος, εἰληφὼς τὰ ὑπομνήματα παρὰ Ἱερομβάλου τοῦ ἱερέως θεοῦ τοῦ Ἰευώ· ὃς Ἀβελβάλῳ τῷ βασιλεῖ Βηρυτίων τὴν ἱστορίαν ἀναθεὶς ὑπ' ἐκείνου καὶ τῶν κατ' αὐτὸν ἐξεταστῶν τῆς ἀληθείας παρεδέχθη. Οἱ δὲ τούτων b
χρόνοι καὶ πρὸ τῶν Τρωϊκῶν πίπτουσι χρόνων, καὶ σχεδὸν τοῖς Μωσέως πλησιάζουσιν, ὡς αἱ τῶν Φοινίκης βασιλέων μηνύουσι διαδοχαί. Σαγχουνιάθων δὲ κατὰ τὴν Φοινίκων

d 10. ἀποδεχθῆναι] ἀποδειχθείσῃ B. ἀναδειχθῆναι (πο) C. ἀποδειχθῆναι F.G. 12. συγγραφὴν] γραφὴν A.H. τὴν om. D. Mox βίβλιος F. pen. γλώσσης] γλώττης A.C.H.

p. 31. ὁ καθ' ἡμᾶς] i. e. Porphyrius: v. infra X. 9. p. 485 A. supra p. 28 B. Conf. Holsten. de v. et s. Porphyrii c. 10. 4. Ἱστορεῖ] Hinc sumpsit Theodoretus Ther. p. 28, 10. 6. συγχουνιάθων ὁ βηρύτης H. 7. τὰ ὑπομνήματα om. C.F.G. 8. θεοῦ τοῦ ἰευώ] θεοῦ ἴευ. ὃς A. θ. τ. ἰεύ H. θεοῦ Ἰαώ Theod. ἀβιβάλῳ] ἀβελβάλῳ B.C.D.F.G. Theod. γρ. οὐβελβάλῳ S. ἀβελβαίῳ E. b. παρεδέχθη] ὑπεδέχθη C.F.G. 3. πλησίαζουσιν] πελάζουσιν Theod. 4. σαγχουν.] σαγχον. C. Σαγχω-

tur. Hujus opera omnia Philo, non Hebræus ille sed Byblius, ex Phœnicum idiomate Græcam in linguam conversa vulgavit. Ejusdem quoque meminit, is qui nostra memoria opus illud adversum nos mendaciis fraudibusque textum consarcinavit, dum libro quarto ipsum hujus testimonii sui prædicatione commendat.

Sanchuniathonis opera.

21 Rerum inquit, ad Judæos pertinentium historiam Sanchuniatho Berytius summa fide conscripsit, quippe quæ cum eorum locis atque nominibus apprime consentiat, cum præcipua rerum illarum capita ab Hierombalo quodam Jeui dei sacerdote accepisset. Hoc illius opus Abibalo regi Berytiorum dedicatum, non modo rex, sed etiam ii quorum apud ipsum erat de scriptorum veritate cognoscere, omnes comprobarunt. Atque istorum quidem ætas Trojanis temporibus antiquior, proxime ad Mosem ipsum accedit, ut ex Phœniciæ regum serie quivis auferre potest. Hic

ΠΟΡΦΥΡΙΟΥ

διάλεκτον φιλαλήθως πᾶσαν τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συναγαγὼν δὴ καὶ συγγράψας ἐπὶ Σεμιράμεως γέγονε τῆς Ἀσσυρίων βασιλίδος, ἣ πρὸ τῶν Ἰλιακῶν, ἢ κατ' αὐτούς γε τοὺς χρόνους γενέσθαι ἀναγέγραπται. Τὰ δὲ τοῦ Σαγχουνιάθωνος εἰς Ἑλλάδα γλῶσσαν ἡρμήνευσε Φίλων ὁ Βύβλιος.

22 Ταῦτα μὲν ὁ δηλωθεὶς, ἀλήθειαν ὁμοῦ καὶ παλαιότητα τῷ δὴ θεολόγῳ μαρτυρήσας. Ὁ δὲ προϊὼν, οὐ τὸν ἐπὶ πάντων Θεὸν, οὐδὲ μὴν θεοὺς τοὺς κατ' οὐρανὸν, θνητοὺς δὲ ἄνδρας καὶ γυναῖκας, οὐδὲ τὸν τρόπον ἀστείους, οἵους δι' ἀρετὴν ἄξιον εἶναι ἀποδέξασθαι ἢ ζηλῶσαι τῆς φιλοσοφίας, φαυλότητος δὲ καὶ μοχθηρίας ἁπάσης κακίαν περιβεβλημένους θεολογεῖ. Καὶ μαρτυρεῖ γε τούτους αὐτοὺς ἐκείνους εἶναι, τοὺς εἰσέτι καὶ νῦν θεοὺς

νιάθων δὲ, ὁ κατὰ τὴν Φ. δ. φιλαλήθης Theod. b 5. ἀπὸ κοινοῦ τὸ εἰληφὼς A. in marg. 6. τὴν παλαιὰν] πᾶσαν τὴν π. A.B.D.H. γρ. S. πᾶσαν τὴν ἱστ. τὴν π. C.F.G. 7. ἐν τοῖς] ἐν om. B.C.F.G. Tum γραφῶν Theod. 8. καὶ] δὴ καὶ A. 9. γέγονε om. F.G. c 2. βύβλιος] βίβλιος A.F. 4. μαρτυρήσας] μαρτυρήσει C.F.G. οὐ τὸν ἐπὶ] οὐ τῶν ἐπὶ C. 5. μὴν] μὴν θεοὺς A.B.C.F.G.H. Tum καὶ κατ' B. 6. γυναῖκας—τρόπον om. B. 8. καὶ ἢ ζηλ. D. 9. κακίαν] κακίας H. qui infra om. εἶναι. 10. γε] καὶ C.D.F.G. Supra θεολογειῶν F.G. 11. θεοὺς] οἵους A.H.

igitur Sanchuniatho, qui Phœnicia lingua veterem historiam partim ex singularum urbium actis, partim ex templorum monimentis coagmentatam singulari veritatis studio perscripsit, Semiramide, quam Iliacis temporibus vel antiquiorem vel æqualem fuisse memorant, apud Assyrios regnante, vixit. Ejusdem porro Sanchuniathonis opera Philo Berytius Græco sermone donavit.

22 Hæc ille, quibus istius theologi cum in scribendo veritatem, tum etiam vetustatem nobis testatam reliquit. Verum in operis suscepti progressu non jam Deum universi moderatorem, immo ne cœli quidem incolas, sed viros quosdam ac mulierculas morti obnoxios, eosque non ea morum honestate, ut propter virtutem suscipi ac probari mereantur, aut ea præditos sapientia, quæ nos ad ipsorum æmulationem invitet, sed omnibus flagitiis ac sceleribus coopertos nobis pro diis obtrudit, ac simul eos ipsos esse confirmat,

παρὰ τοῖς πᾶσι νενομισμένους κατά τε τὰς πόλεις καὶ d
[21] *τὰς χώρας. Δέχου δὲ καὶ τούτων ἐκ τῶν ἐγγράφων*
23 *τὰς ἀποδείξεις. Ὁ δὴ Φίλων εἰς ἐννέα βίβλους τὴν πᾶσαν τοῦ Σαγχουνιάθωνος πραγματείαν διελὼν, κατὰ τὸ προοίμιον τοῦ πρώτου συγγράμματος αὐτοῖς ῥήμασι προλέγει περὶ τοῦ Σαγχουνιάθωνος ταῦτα·*

ΦΙΛΩΝΟΣ ἢ ΠΟΡΦΥΡΙΟΥ

24 Τούτων οὕτως ἐχόντων, ὁ Σαγχουνιάθων ἀνὴρ πολυμαθὴς καὶ πολυπράγμων γενόμενος, καὶ τὰ ἐξ ἀρχῆς, ἀφ' οὗ τὰ πάντα συνέστη, παρὰ πάντων εἰδέναι ποθῶν, πολὺ φροντιστικῶς ἐξεμάστευσε τὰ Τααύτου, εἰδὼς ὅτι τῶν ὑφ' ἡλίῳ γεγονότων πρῶτός ἐστι Τάαυτος, ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινοήσας, καὶ τῆς τῶν ὑπομνημάτων γραφῆς κατάρξας· καὶ ἀπὸ τοῦδε ὥσπερ κρηπῖδα βαλόμενος τοῦ λόγου, ὃν Αἰγύπτιοι μὲν ἐκάλεσαν Θωὺθ, Ἀλεξανδρεῖς δὲ p. 32
Θὼθ, Ἑρμῆν δὲ Ἕλληνες μετέφρασαν.

25 *Ταῦτα εἰπὼν ἐπιμέμφεται τοῖς νεωτέροις τοῖς μετὰ*

d 2. *ἐγγράφων*] *γράφων* B.C. *γραφῶν* D.F.G. 3. *βύβλους*] *βίβλους* A.B.C.D.F.G. 7. *ἀνὴρ*] *ἀνὴρ δὲ* A.H. 10. *εἰδέναι*] *εἰδὼς* B. *περὶ πάντων* D. 11. *ἐξεμάστευσε* etc.] *ἐξεμάστευσεν· ταῦτα αὐτοῦ εἰδώς τις τῶν ὑφ' ἡλίῳ γεγονότων πρῶτός ἐστιν οὗτος ὁ τῶν* A.H. Dedi hinc
ευ
ἡλίῳ pro *ἥλιον. ἐξεμάστεσε* D. 13. *τῆς τὴν*] *τῆς τῶν* A.B.C. 15. *βαλόμενος*] *βαλλόμενος* C.D.F.G.
p. 32. 1. *θωὺθ*] *μωῦθ* C.F.G. 3. *τοῖς νεωτ. μ. τ.*] *τοῖς μετὰ ταῦτα νεωτ.* A.H.

qui passim etiamnum omnibus in oppidis atque regionibus deorum loco celebrantur. Quarum tu rerum certas etiam et ex illorum
23 scriptis depromptas accipe probationes. Philo igitur qui Sanchuniathonis opus universum novem in libros distribuit, ipso statim primi libri procemio hæc ad verbum de eodem auctore præfatur.

Philo Byblius de Sanchuniathone, quid habeat.

24 Hæc cum ita se haberent, Sanchuniatho vir in primis eruditus, cum operam in rerum plurimarum studio posuisset, cumque gentium omnium historiam jam usque a prima universi molitione nosse vehementer optaret, præcipuam quandam in pervestigandis Taauti rebus diligentiam adhibuit, quod satis intelligeret, omnium qui lucem hanc aspexerant, eum literas principem invenisse, ac scribendorum commentariorum auctorem fuisse: ab illo autem auspicatum esse, quem ab Ægyptiis Thoyth, ab Alexandrinis Thoth, nominatum, Græci Ἑρμῆν hoc est Mercurium reddidere.

25 His commemoratis, recentiores illos qui postea emerserant eo

ταῦτα, ὡς ἂν βεβιασμένως καὶ οὐκ ἀληθῶς τοὺς περὶ θεῶν μύθους ἐπ' ἀλληγορίας καὶ φυσικὰς διηγήσεις τε καὶ θεωρίας ἀνάγουσι· λέγει δ' οὖν προϊών·

ΦΙΛΩΝΟΣ Η ΠΟΡΦΥΡΙΟΥ

in Indica expeditione posuisset, Græci trieterica sacra ejus in honorem instituere, cum per illud tempus Bacchum sese hominibus spectandum præbere solitum putarent. Cæterum divinos honores propter vini munus, quemadmodum Ceres ob inventi frumenti beneficium, ab universo homi-

ΔΙΟΔΩΡΟΥ

6 Εἶναι δέ φασι καὶ ἄλλον Διόνυσον πολὺ τοῖς χρόνοις
προτεροῦντα τούτου, τὸν ὑπό τινων Σαβάζιον ὀνομαζόμενον,
ἐκ Διὸς καὶ Περσεφόνης γενόμενον· οὗ τὴν γένεσιν, καὶ c
τὰς θυσίας, καὶ τὰς τιμὰς νυκτερινὰς καὶ κρυφίους εἰσάγου-
σιν, διὰ τὴν αἰσχύνην τὴν ἐκ τῆς συνουσίας ἐπακολουθοῦσαν.
7 Ὃν καὶ πρῶτον βοῦς ἐπιχειρῆσαι ζευγνύειν, ἀφ' οὗ δὴ καὶ
κερατίαν αὐτὸν εἰσάγουσι. Τὸν δὲ ἐκ Σεμέλης νεώτερον,
τρυφερὸν τῷ σώματι, καὶ εὐπρεπείᾳ διενεγκεῖν, καὶ πρὸς τὰς
ἀφροδισιακὰς ἡδονὰς εὐκατάφορον γεγονέναι φασὶ, κατὰ δὲ
τὰς στρατείας γυναικῶν πλῆθος περιάγειν καθωπλισμένας
8 λόγχαις τεθυρσωμέναις. Φασὶ δὲ καὶ τὰς Μούσας αὐτῷ
συναποδημεῖν παρθένους οὔσας, καὶ πεπαιδευμένας διαφερόν- d
τως, ἃς καὶ διὰ μελῳδίας καὶ ὀρχήσεως ψυχαγωγεῖν τὸν
θεόν. Παιδαγωγόν τε αὐτοῦ Σειληνὸν μεγάλα συμβάλλε-
σθαι αὐτῷ πρὸς ἀρετήν. Πρὸς δὲ τὰς ἐκ τοῦ πλεονάζοντος
9 οἴνου κεφαλαλγίας ἀναδεδέσθαι τὴν κεφαλὴν μίτρᾳ. Διμήτορα

b 10. τούτου] τοῦτον A. τούτων H. pro τούτου τόν. σαβάζιον] σαβίζιον A. c 2. κρυφίους] κρυφίας C.F. 3. τὴν ἐκ τῆς] τὴν τῆς αὐτῆς A. τὴν εἰς αὐτὴν H. 4. βοῦς ἐπιχειρῆσαι] ἐπιχειρῆσαι βοῦς C.F.G. 5. δῆτα] δὴ A.F.G.H. Mox εἰσάγουσιν αὐτὸν H. 8. γενέσθαι] γεγονέναι A.C.F.G.H. 9. γυναικῶν πλῆθος—λόγχαις] μετὰ γυναικῶν πλήθους καθωπλισμένου λόγχαις B. 10. καθωπλισμένων Diod. d. ἃς καὶ] καὶ om. A.H. 3. Σειληνὸν] σιληνὸν A. Supra ἑαυτοῦ D. Mox αὐτῷ συμ. F. et ni fallor G. 5. οἴκου οἴνου F.G. 6. μίτρᾳ] μήτρᾳ A.C. μητρὶ H. Tum διμήτρα καὶ αὐτὸν C. διμήτορα καὶ αὐτὸν F.G.

c. 4.

6 num genere impetravit. Jam, alium præterea Bacchum fuisse tradunt,
qui hunc longo ætatum intervallo præcesserit, quemque Sabazium non-
nulli vocant, Jovis ex Proserpina filium. Hujus non ortus modo, sed
etiam sacrificia, ritusque nocturni ac latentes, quod perpetuus veluti
comes ad concubitus fœditatem pudor adhærescat, ab illis invehuntur.
7 Eum quoque jugandorum boum rationem primum excogitasse aiunt,
ideoque cornua ejusdem simulacris affigunt. At vero juniorem alterum
ex Semele natum, corporis mollitie luxuque diffluentem, specie formaque
præstitisse, atque in res venereas pronum admodum ac proclivem fuisse
commemorant. In bellicis autem expeditionibus mulierum turbam circun-
8 ducebat, a quibus hastæ frondibus tectæ ferebantur. Quinetiam addunt,
Musas virgines, eximia rerum plurimarum scientia præditas, itinerum
ejus comites fuisse, quæ Bacchi animum partim suavitate cantus, partim
saltationis elegantia et concinnitate recrearent. Eidem Silenum pæda-
gogum attribuunt, cujus ex præceptis maxima caperet ad virtutem adju-
menta. Porro, mitra quidem revinctum illum caput habuisse ferunt,
adversus acutos capitis dolores quos ex immoderato vini haustu pateretur:
9 bimatris vero cognomentum accepisse, quod ex uno quidem patre, sed ex

ΔΙΟΔΩΡΟΥ

δὲ αὐτὸν προσαγορεύουσι διὰ τὸ πατρὸς μὲν ἑνὸς ὑπάρξαι τοὺς δύο Διονύσους, μητέρων δὲ δυοῖν. Νάρθηκα δὲ προσάπτουσιν αὐτῷ, διὰ τὸ πίνοντας ἄκρατον τοὺς παλαιοὺς [τὸν οἶνον] μανιώδεις γίνεσθαι, καὶ ταῖς βακτηρίαις ἀλλήλους τύπτειν, ὡς καὶ ἀναιρεῖσθαί τινας, ὅθεν καὶ ἀντὶ ξύλων
10 νάρθηξι χρῆσθαι καταδεῖξαι. Καλεῖσθαι δὲ αὐτὸν Βάκχον ἀπὸ τῶν Βακχῶν, Ληναῖον δὲ ἀπὸ τοῦ πατεῖσθαι τὰς στα- p. 54
φυλὰς ἐν ληνοῖς, Βρόμιον δὲ ἀπὸ τοῦ κατὰ τὴν γένεσιν αὐτοῦ
11 γενομένου βρόμου. Καὶ Σατύρους δέ φασιν αὐτὸν περιάγεσθαι ἐν ταῖς ὀρχήσεσι καὶ ταῖς τραγῳδίαις τέρψιν αὐτῷ καὶ ἡδονὴν παρέχοντας, καταδεῖξαι δὲ θέατρον, καὶ μουσικῶν ἀκροαμάτων σύστημα. Ταῦτα μὲν τὰ περὶ Διονύσου.

12 Τὸν δὲ Πρίαπον υἱὸν εἶναί φασι Διονύσου καὶ Ἀφροδίτης, διὰ τὸ τοὺς οἰνωθέντας φυσικῶς ἐντετάσθαι πρὸς τὰς ἀφροδισιακὰς ἡδονάς. Τινὲς δέ φασι τὸ αἰδοῖον τῶν ἀνθρώπων
13 τοὺς παλαιοὺς μυθικῶς Πρίαπον ὀνομάζειν. Ἔνιοι δὲ λέ- b

7. πατρὸς] πατρὸς μὲν A.H. 8. δυοῖν] δυεῖν A.H. 9. πίνοντας] πίνοντα C.G. 10. τὸν οἶνον om. A.H. 12. καὶ ἀντὶ] καὶ om. A.H. qui mox νάρθηξι pro νάρθηκι. 13. κατέδειξε] καταδεῖξαι καὶ A. καταδεῖξαι δὲ καὶ H. pen. δὲ αὐτὸν βάκχον] αὐτὸν βάκχιον A. αὐτὸν βάκχειον H.

p. 54. βρόμιον] βρόμον C. 2. αὐτοῦ] αὐτοῦ γενομένου A.H. 5. δὲ θ.] δὲ καὶ θ. D. 6. συστήματα τοιαῦτα] σύστημα ταῦτα A.H. 7. τὰ περὶ] τὰ τοῦ D. τὸν δὲ Πρίαπον—ἀγαθῶν γενέσθαι om. B. Πρίαπον] Πρίηπον A.H. et sic infra. 9. τοὺς οἰνωθ.] τούτους οἰνωθ. A.H. 11. τῶν ἀνθρώπων πρίηπον μυθικῶς H.

matre gemina Bacchi duo nati essent. Ferulam quoque in manum ipsi dare solent, quod cum prisci homines assiduo meri usu in rabiem ac furorem acti, sese baculis ita mutuo cæderent, ut ex plagis interitus aliquando sequeretur, lignorum loco Bacchus eos ferulis uti docuerit.
10 Eum præterea volunt Bacchum quidem a Bacchis mulieribus nominatum c. 5
esse, Lenæum autem quasi torcularium, quod in torcularibus uvæ calcentur, Bromium denique quasi sonorum ob ingentem illum fragorem qui
11 cœlitus in ipsius ortu contigerat. Ad extremum Satyros etiam passim ab illo circunductos, qui eum saltationum et tragœdiarum oblectatione ac voluptate mulcerent, adeoque theatrum ipsum, cum iis quæ ad plenam ac numerosam variorum concentuum integritatem pertinent, excogitatum
12 fuisse. Atque hæc de Baccho Græci prodiderunt. Jam vero Priapum c. 6
ejusdem Bacchi Venerisque filium esse tradunt, quod homines vino madidi naturali quodam in obscœnam voluptatem impetu arrigere consueverint. Quanquam aliis placet, honestum corporis humani membrum a veteribus
13 Priapum in fabulis appellatum esse: alii vero malunt, idem ipsum quod

ΔΙΟΔΩΡΟΥ γουσι τὸ γεννητικὸν μόριον αἴτιον ὑπάρχειν τῆς γενέσεως τῶν ἀνθρώπων, καὶ διὰ τοῦτο εἰς ἅπαντα τὸν αἰῶνα τυχεῖν τῆς ἀθανάτου τιμῆς· ὥσπερ οὖν καὶ οἱ Αἰγύπτιοι τὴν Ἶσιν ἔφησαν τὰ μέλη τοῦ Ὀσίριδος ἀναζητοῦσαν, τὸ αἰδοῖον αὐτοῦ μὴ δυναμένην εὑρεῖν, καταδεῖξαι τιμᾶν ὡς θεὸν, καὶ
14 ἀναθεῖναι κατὰ τὸ ἱερὸν ἐντεταμένον. Ἀλλὰ καὶ παρ' Ἕλλησιν οὐ μόνον ἐν ταῖς Διονυσιακαῖς τελεταῖς ἀλλὰ καὶ ταῖς ἄλλαις ἁπάσαις οὗτος ὁ θεὸς τυγχάνει τινὸς τιμῆς, μετὰ c
γέλωτος καὶ παιδιᾶς παρεισαγόμενος ἐν ταῖς θυσίαις· ὡς καὶ τὸν Ἑρμαφρόδιτον, ὃν ἐξ Ἑρμοῦ καὶ Ἀφροδίτης γεννη-
15 θέντα τυχεῖν τῆς προσηγορίας. Τοῦτον δέ φασι τὸν θεὸν κατά τινας χρόνους φαίνεσθαι παρ' ἀνθρώποις καὶ γεννᾶσθαι τὴν τοῦ σώματος φύσιν ἔχοντα μεμιγμένην ἐξ ἀνδρὸς καὶ
[35] γυναικός· ἔνιοι δὲ τὰ τοιαῦτα τέρατα ὑπάρχειν φασὶ, σπανίως τε γεννώμενα σημαντικὰ ποτὲ μὲν κακῶν ποτὲ δ' ἀγαθῶν γίνεσθαι.

16 Τὰς δὲ Μούσας θυγατέρας εἶναι Διὸς καὶ Μνημοσύνης, d
τινὲς δὲ Οὐρανοῦ καὶ Γῆς. Παρθένους τε αὐτὰς οἱ πλεῖστοι μυθολογοῦσι, τυχεῖν τε τῆς προσηγορίας ἀπὸ τοῦ μυεῖν τοὺς ἀνθρώπους, τοῦτο δέ ἐστι διδάσκειν τὰ καλά.

b 9. ἐντεταμένον] τεταμένον H. 11. ταῖς ἄλ.] ἐν ταῖς ἀλ. A. c 4. τυχεῖν δὲ F. 7. ἔχοντα] ἔχοντα μεμιγμένην A.C.F.G.H. γρ. S. ἔχοντος D. 10. γενόμενα] γεννώμενα A.C.F. Supra φασὶ ni fallor om. F. d. μνημοσύνης τ. δ. om. B. Supra τοῦ Διὸς H. 3. τε τῆς] τῆς om. F.

humanæ generationis caussa sit, immortales honores ex omni sæculorum memoria consequutum fuisse: quemadmodum etiam Ægyptii ferunt Isidem cum in vestigandis Osiridis membris occupata, veretrum unum ex omnibus reperire non posset, divinum ei cultum instituisse, et arrectum
14 ejus simulacrum in templo consecrasse. At enim apud Græcos non tantum in Bacchi sacris et initiis, verum et in cæteris quoque omnibus hoc numinis genus, in sacrificia cum risu ac jocis inductum certo quodam honore prosequuntur. Persimilis huic Hermaphroditus, cui quod Herme et Aphrodite, hoc est Mercurio ac Venere satus esset, hoc nominis tri-
15 buere. Ac nonnulli quidem statis quibusdam temporibus deum istum inter homines apparere, virilique simul ac muliebri sexu procreari scribunt: alii contra, quod ejusmodi hominum ortus perraro contingant, eos in prodigiorum loco habitos, res nonnunquam adversas, aliquando se-
c. 7. 16 cundas prænuntiare defendunt. Præterea Musas alii Jovis ac Mnemosynes, alii Cœli Terræque filias esse volunt: easdem virgines fuisse plerique fabulantur, Musarumque nomine appellatas, quod homines ipsos

ΔΙΟΔΩΡΟΥ

17 Περὶ δὲ τοῦ Ἡρακλέους Ἕλληνες τοιαῦτα φασί. Δα-
νάης τῆς Ἀκρισίου καὶ Διὸς γενέσθαι Περσέα, Περσέως δὲ
καὶ Ἀνδρομέδας Ἠλεκτρύωνα, ἐκ δὲ τούτου γενέσθαι τὴν
Ἀλκμήνην, ᾗ μιγέντα τὸν Δία γεννῆσαι τὸν Ἡρακλέα.
Μισγόμενον δὲ αὐτῇ τὸν Δία τριπλασίονα τὴν νύκτα ποιῆσαι·
μόνην δὲ ταύτην τοῦ Διὸς τὴν ὁμιλίαν οὐκ ἐρωτικῆς ἐπιθυμίας
ἕνεκα γενέσθαι, καθάπερ ἐπὶ τῶν ἄλλων γυναικῶν, ἀλλὰ τὸ
18 πλεῖστον τῆς παιδοποιίας χάριν. Τὴν δὲ Ἥραν ζηλοτυποῦσαν
παρακατασχεῖν μὲν τῆς Ἀλκμήνης τὰς ὠδῖνας, τὸν δὲ Εὐρυσθέα p. 55
πρὸ τοῦ καθήκοντος χρόνου πρὸς τὸ φῶς ἀγαγεῖν, τοῦ Διὸς
προαγορεύσαντος τὸν τεχθησόμενον κατ' ἐκείνην τὴν ἡμέραν
19 βασιλεῦσαι τοῦ Περσιδῶν γένους. Τεκοῦσα δὲ ἡ Ἀλκμήνη
ἐξέθηκεν, ὥς φασι, τὸ βρέφος, φόβῳ τῆς Ἥρας. Τὴν δὲ
Ἀθηνᾶν ἀγασθεῖσαν τὸ βρέφος, πεῖσαι τὴν Ἥραν ὑποσχεῖν
αὐτῷ τὴν θηλήν. Τοῦ δὲ παιδὸς ὑπὲρ τὴν ἡλικίαν βιαιότε-

d 6. ἡρακλέους] ἡρυκλέος A. τοιάδε] τοιαῦτα A.C.D.F.G.H. 8. ἀνδρομέδας] ἀνδρονέως B. Tum ἠλεκτρυόνα B.C. ἀμφιτρύωνα H. 10. γεννῆσαι—αὐτῇ om. B.C.D.E.F.G. Tum D. in marg. οὕτω καὶ Λουκιανός· ἄλλοι δὲ διπλασίονα. Post αὐτῇ A.H. addunt τὸν δία. 12. μόνην τε] μόνην δὲ A.H. τὴν ὁμιλίαν] τὴν om. F. 13. ἕνεκα] ἕνεκεν C.H. Supra ἐνωτικῆς H.

p. 55. Ἀλκμήνης] τῆς Ἀλκ. D.F.G. 3. προαγορεύοντος] προαγορεύσαντος B.C.D.G.H. προσαγορεύσαντος F. τὸν τεχ.] τὸ τεχ. A. 4. κατ' ἐκείνην τὴν ἡμέραν] κατ' ἐκεῖνο καιροῦ τῆς ἡμέρας A.H. γρ. S.V. 5. δὲ Ἀλ.] δὲ ἡ Ἀ.B.C.D.F.G. Ἀλαμήνα C. 6. φόβῳ τῆς Ἥρας] φῶς τῆς ἡμέρας A.H. 8. τὴν θηλήν] τὴν om. A.H.

17 *μυεῖν*, id est honesta docere putarentur. De Hercule autem in hunc fere
modum Græci loquuntur. Perseum quidem ex Jove et Danaë Acrisii filia
procreatum, Electryonem ex Andromeda suscepisse, qui Alcmenam postea
genuerit: Alcmenam vero Jovi, qui noctem in suo complexu cum tribus
noctibus æquaverat, Herculem peperisse. Et quidem solum hunc ex
omnibus Jovis congressum, non ex amatoria cupidine ut cæteros, quibus
rem cum aliis mulieribus habuerat, sed ex singulari quadam ac præcipua
18 suscipiendæ sobolis cupiditate profectum esse. At Juno zelotypia flagrans,
cum Jovem diserte prædicantem audiisset, futurum ut qui eo die nasce-
retur, is Persidarum generi imperaret, Alcmenæ partu qui maturus jam
erat inhibito, Eurystheum in lucem ante legitimum nascendi tempus
19 eduxit. Quinetiam Alcmena Junonis metu sublatum infantem exposuit;
Pallas autem ejusdem admiratione capta, Junonem ipsam ut mammam
illi præberet adduxit, quam ubi vehementius quam ætas ferre videbatur

c. 9 De Hercule fabulæ.

ΔΙΟΔΩ-ΡΟΥ

ρον ἐπισπασαμένου τὴν θηλὴν, ἡ μὲν Ἥρα διαλγήσασα τὸ
βρέφος ἔρριψεν, Ἀθηνᾶ δὲ κομίσασα αὐτὸ τὴν μητέρα τρέ- b
φειν παρεκελεύσατο.
20 Μετὰ δὲ ταῦτα ἡ μὲν Ἥρα δύο δράκοντας ἀπέστειλε τοὺς
ἀναλώσοντας τὸ βρέφος, ὁ δὲ παῖς οὐ καταπλαγεὶς ἑκατέρᾳ
τῶν χειρῶν τὸν αὐχένα θλίψας ἀπέπνιξε τοὺς δράκοντας.
Ἀνδρὶ δὲ γενομένῳ τῷ Ἡρακλεῖ Εὐρυσθεὺς ὁ τὴν βασιλείαν
ἔχων τῆς Ἀργείας προστάττει ἄθλους ἐκτελέσαι δώδεκα.
21 Εἰς πολλὴν δὲ ἀμηχανίαν ἐμπεσόντος αὐτοῦ, Ἥρα μὲν ἔπεμ-
ψεν αὐτῷ λύσσαν· ὁ δὲ τῇ ψυχῇ δυσφορῶν εἰς μανίαν ἐνέ-
πεσε· τοῦ πάθους δὲ αὐξομένου τῶν φρενῶν ἐκτὸς γενόμενος
τὸν ἑταῖρον καὶ ἀδελφιδοῦν Ἰόλαον ἐπεβάλλετο κτείνειν, τοῦ c
δὲ φεύγοντος, τοὺς ἰδίους παῖδας ἐκ Μεγάρας τῆς Κρέοντος
τοῦ βασιλέως θυγατρὸς γενομένους αὐτῷ κατετόξευσεν ὡς
22 πολεμίους. Καὶ μετὰ ταῦτα ἠρέμα καταστὰς ὑπουργεῖ τῷ
Εὐρυσθεῖ τοὺς δώδεκα ἄθλους. Ἀναιρεῖ δὲ καὶ τοὺς Κεν-
ταύρους, μεθ' ὧν καὶ Χείρωνα τὸν ἐπὶ τῇ ἰατρικῇ βοώμενον.

a 10. διαλγήσασα—μὲν Ἥρα om. B. 11. κομισαμένη] κομίσασα C. D.E.F.G. b. μετὰ δὲ] δὲ om. A.H. 5. Ἀνδρὶ δὲ—Ἡρακλέα τοιαῦτα p. 57 a. om. B. δὲ om. C.F.G. ἀνδρὶ] ἤγουν ἀνδρωθέντι S. 6. Εὐρυσθεὺς] ὁ Εὐρ. A.H. Εὐρυσθὲς C. 7. τελέσαι] ἐκτελέσαι A.C. F.G.H.V. 11. αὐξανομένου] αὐξομένου A.C.F.G.H. c. καὶ ἀδελ.] καὶ om. C.D.E.F.G. ἐπεβάλλετο] ἐπεβάλετο A. Mox κτενεῖν H. 2. φεύγοντος] φυγόντος F.G. 4. κατετόξευσεν] κατετοξεύ^{σεν}σατο D. 5. καταστὰς ὑπουργεῖ] καθυπούργει A. ὑποργειῶν τοὺς δ. C. τῷ Εὐρυσθεῖ om. F.G. 7. ὧν—ἐπὶ τῇ ἰατρικῇ] ὧν καὶ—ἐπὶ ἰατρικῆς D. ἐπὶ ἰατρικῆς E. ὧν καὶ—ἐπὶ ἰατρικῇ F.G.

infans attraxisset, Juno doloris impatiens eum projecit, Pallas vero sus-
c. 10. 20 ceptum ut mater aleret sua adhortatione perfecit. Nec multo post geminos
dracones qui puerulum deglutirent Juno summittit: at ille nihil territus
alterum dextera, sinistra alterum eliso gutture suffocavit. Cum autem
virilem Hercules ætatem attigisset, Eurystheus qui tum Argis imperabat,
c. 11. 21 certamina duodecim ei conficienda præscribit, eumque dum ingenti rerum
difficultate anxius ac perturbatus hæret, immisso furore Juno de mentis
potestate dejicit. Ergo vi morbi animum in dies altius pervadente, cum
jam nullum amplius rationis sensum haberet, socium ac nepotem Iolaum
interficere conatus, cumque is sese fuga subduxisset, liberos ipse suos ex
Megara Creontis regis filia susceptos sic tanquam hostes sagittis confecit.
22 Postea sibi paulatim mentique redditus suæ, ex imperatis ab Eurystheo
c. 12 certaminibus duodecim victor evasit, ac Centauros ipsumque adeo Chiro-

ΔΙΟΔΩΡΟΥ

23 Φασὶ δὲ ἴδιόν τι συμβῆναι κατὰ τὴν γένεσιν τοῦδε τοῦ
θεοῦ. Ζεὺς γὰρ πρώτῃ μὲν ἐμίγη γυναικὶ θνητῇ Νιόβῃ τῇ
Φορωνέως, ἐσχάτῃ δὲ Ἀλκμήνῃ τῇ τοῦ Ἡρακλέος μητρί.
Ταύτην δὲ ἀπὸ Νιόβης ἑκκαιδεκάτην γενεαλογοῦσιν. Ἐν d
ταύτῃ δὲ τὴν τρὸς τὰς θνητὰς ὁμιλίαν κατέλυσεν.
24 Ἀλλὰ γὰρ τελέσας τοὺς ἄθλους ὁ Ἡρακλῆς τὴν μὲν
ἑαυτοῦ γυναῖκα Μεγάραν συνῴκισεν Ἰόλᾳ τῷ ἀδελφιδῷ διὰ
τὴν περὶ τὰ τέκνα συμφοράν· αὐτὸς δὲ Ἰόλην τὴν Εὐρύτου
πρὸς γάμον αἰτήσας, μὴ δόντος δὲ τοῦ πατρὸς νοσήσας,
χρησμὸν λαμβάνει ἀπολυθήσεσθαι τῆς νόσου, εἰ πρότερον
25 πραθεὶς δουλεύσειεν. Πλεύσας οὖν εἰς τὴν Φρυγίαν ὑπό τινος
τῶν φίλων πιπράσκεται, καὶ δοῦλος γίνεται Ὀμφάλης βασι-
λευούσης τῶν τότε Μαιόνων, νυνὶ δὲ Λυδῶν ὀνομαζομένων.
Γίνεται δὲ αὐτῷ κατὰ τὸν τῆς δουλείας καιρὸν ἐκ δούλης υἱὸς
Κλεόλαος. Γήμας δὲ τὴν Ὀμφάλην ποιεῖται καὶ ἐξ αὐτῆς p. 56
παῖδα.

c 8. *συμβῆναι*] *συμβ ναι* C. 9. *πρώτῃ*] *παρόντως* C. *ἐμίγη πρώτῃ* sine *μέν* H. 10. *τῇ*] *τῆς* F. 11. *Ἡρακλέος*] *ἡρακλέως* C. d. *γενεαλογοῦσα* E. 2. *τὴν πρὸς*] *τὰς πρὸς* C.F.G. et mox *ὁμιλίας*. Mox *ὁ* ante *Ἡρακ.* om. F. 4. *μεγάραν* etc.] *μ. ἰόλα τῷ ἀδελφιδῷ δίδωσι* A.H.S.V. *ἰολάῳ* C.D.F.G. pro *ἰόλᾳ*. 5. *περὶ τὰ*] *τὰ* om. C. 6. *δὲ ἰόλην τὴν*] *ἰόλην τοῦ* C.F.G. 7. *δὲ τοῦ*] *δὲ* om. A. *νοσήσας*] *νοήσας* (σ superscr.) A. om. D.E. 13. *νυνὶ*] *νῦν* C.E.G.
p. 56. *παῖδας*] *παῖδα* C.D.E.F.G.

23 nem medicinæ arte florentem occidit. Cæterum, peculiare ac singulare quidpiam hujus in numinis procreatione contigisse narrant: quippe, Jovem enim, ut cum Niobe Phoronei filia mortalium omnium mulierum principe, ita cum Alcmena Herculis parente omnium postrema rem habuisse, et in ea, quam post Nioben decimam sextam generationis ordine c. 14
24 numerant, finem cum mortalibus congrediendi fecisse. Porro, cum e suis illis expeditionibus victor Hercules rediisset, Megaram uxorem, ob acerbam liberorum, quos illa sibi pepererat calamitatem, matrimonio cum Iolao nepote conjunxit: ipse vero cum expetitam ad nuptias Iolen ab Euryto patre non impetraret, in morbum incidit, quo ita demum se liberatum iri ex oraculo intelligit, si prius sese venundatum voluntariæ servi- c. 31
25 tuti manciparet. Igitur in Phrygiam navigatione suscepta, ab uno quodam ex amicis venditus, Omphalen eorum qui tum quidem Mæones vocabantur, nunc vero Lydorum nomen habent, reginam dominam sortitus est: ac primum servitutis suæ tempore filium ex ancilla quadam genuit, nomine Cleolaüm; mox ubi Omphalen ipsam in conjugem duxisset, liberos ex ea quoque suscepit.

ΔΙΟΔΩ-ΡΟΥ 26 Ἐπανιὼν δὲ εἰς τὴν Ἀρκαδίαν, καὶ καταλύσας παρὰ Λεῷ
τῷ βασιλεῖ, τῇ θυγατρὶ τούτου λάθρα μιγεὶς, καὶ ποιήσας
αὐτὴν ἔγκυον, ἐπανῆλθε.
27 Καὶ μετὰ ταῦτα πάλιν ἔγημε Δηϊάνειραν τὴν Οἰνέως,
τετελευτηκότος ἤδη τοῦ Μελεάγρου.
Λαβὼν δὲ αἰχμάλωτον τὴν Φυλέως θυγατέρα, ἐπεμίγη
αὐτῇ, καὶ ἐτέκνωσε Τληπόλεμον. Δειπνῶν δὲ παρ' Οἰνεῖ,
[36] τὸν διακονοῦντα περί τι διαμαρτήσαντα κονδύλῳ πατάξας
28 ἀπέκτεινεν. Ἐπεὶ δὲ πορευόμενος ἦλθε πρὸς τὸν Εὔηνον b
ποταμὸν, καταλαμβάνει Νέσσον τὸν Κένταυρον μισθοῦ δια-
βιβάζοντα τὸν ποταμόν. Οὗτος δὲ πρότερον διαβιβάσας
τὴν Δηϊάνειραν, καὶ διὰ τὸ κάλλος ἐρασθεὶς αὐτῆς ἐπεχείρησεν
αὐτὴν βιάσασθαι· ἐπιβοωμένης δὲ αὐτῆς τὸν ἄνδρα, ὁ μὲν
Ἡρακλῆς ἐτόξευσε τὸν Κένταυρον, ὁ δὲ Νέσσος μεταξὺ
μισγόμενος, καὶ διὰ τὴν ὀξύτητα τῆς πληγῆς εὐθὺς ἀποθνή-
σκων, ἔφησε τῇ Δηϊανείρᾳ δώσειν φίλτρον, ὅπως μηδεμιᾷ
29 τῶν ἄλλων γυναικῶν Ἡρακλῆς θελήσῃ πλησιάσαι. Παρ-
εκελεύσατο οὖν λαβοῦσαν τὸν ἐξ αὐτοῦ πεσόντα γόνον, καὶ c

a 2. παρὰ Λεῷ] ἡρακλέω F. 3. τούτου om. D. 4. ἔγκυον] ἔγγυον C.F.G. 6. τοῦ Μελ.] τοῦ om. C.D.F.G. 7. αὐτῇ] ταύτῃ D.F.G. 9. κονδύλῳ] καὶ κονδύλῳ A.H. In marg. A. ὃ ἐν τῇ συνηθείᾳ γρόνθον φαμέν. b 3. πρότερον] πρῶτον A.H. 4. ἐρασθεὶς αὐτῆς] αὐτῆς ἐρασθεὶς A. Item H. αὐτῆς post κάλλος. 11. λαβοῦσαν] λαβοῦσα D. et nescio an F.G.

c. 33. 26 Inde repetita Arcadia, posteaquam Lei regis filiam, a quo exceptus hospitio fuerat, clandestino concubitu gravidam effecisset, continuo rediit.
c. 34. 27 Tum extincto jam Meleagro Deianiram Œnei filiam uxorem ducit, idem-
c. 36. que postmodum cum Phylei cujusdam filia, quam bello ceperat congreditur, ex eaque Tlepolemum generat. Cum autem apud Œneum aliquando cœnaret, eum qui mensæ ministrabat, quod nescio quid ministerio obeundo
28 peccasset, pugno percussum interemit. Præterea, cum itinere suscepto ad Evenum fluvium accessisset, Nessum ibi Centaurum offendit, qui viatores mercede trajiceret. Hic transvecta primum Deianira, mulieris amore captus ob elegantiam formæ singularem, ipsam vi opprimere conabatur; sed cum illa virum magna voce appellasset, Hercules Centaurum quidem sagitta confixit; Nessus autem in flagranti concubitu ob vulneris acerbitatem morti jam proximus, philtrum Deianiræ sese daturum pollicetur, quo si uti velit, omnino perficiat uti ne alterius unquam Hercules mulieris
6 amoribus capiatur. Jubet itaque, seminis sui defluentis aliquid colligere, quod cum oleo, et sanguine qui ex teli cuspide distillabat commisceret,

τούτῳ προσμίξασαν ἔλαιον καὶ τὸ ἀπὸ τῆς ἀκίδος ἀποσταζόμενον αἷμα, χρῖσαι τὸν χιτῶνα τοῦ Ἡρακλέος. Τοῦτο δὲ ποιήσασα Δηϊάνειρα κατεῖχε παρ' ἑαυτῇ τὸ φάρμακον. ΔΙΟΔΩΡΟΥ

30 Πάλιν δὲ ὁ Ἡρακλῆς τὴν Φύλαντος θυγατέρα λαβὼν αἰχμάλωτον, καὶ μιγεὶς αὐτῇ υἱὸν Ἀντίοχον ἐγέννησε· καὶ πάλιν Ἀστυάνειραν τὴν Ἀρμενίου τοῦ βασιλέως θυγατέρα λαβὼν αἰχμάλωτον, καὶ μιγεὶς αὐτῇ Κτήσιππον υἱὸν ἐγέννησε.

31 Θέσπιος δὲ ὁ Ἀθηναῖος παῖς Ἐρεχθέως ἐκ διαφόρων γυναικῶν θυγατέρας ἀριθμῷ πεντήκοντα πεποιηκώς, φιλοτι- d μησάμενός τε αὐτὰς ἐξ Ἡρακλέους παῖδας κτήσασθαι, καλέσας ἐπί τινα θυσίαν τὸν Ἡρακλέα, καὶ λαμπρῶς αὐτὸν ἑστιάσας, κατὰ μίαν αὐτῷ τῶν θυγατέρων ἀπέστειλεν. Ὁ δὲ ἐν μιᾷ νυκτὶ διέφθειρεν τὰς πάσας, καὶ γίνεται πατὴρ τῶν καλουμένων Θεσπιαδῶν.

32 Λαβὼν δὲ καὶ τὴν Ἰόλην αἰχμάλωτον, καὶ θυσίαν ἐπιτελῶν, ἀποστείλας ἐπὶ τὴν γυναῖκα Δηϊάνειραν ᾔτει ἱμάτιον καὶ χιτῶνα οἷς εἰώθει χρῆσθαι πρὸς τὰς θυσίας· ἡ δὲ τὸν

c. προσμίξασαν] προσμιξαμένην A.H. προσμίξας F. Supra τοῦτο H. 2. ἀκίδος] ὠκίδος C. ἀποσταζόμενον] σταζόμενον F.G. 5. φύλλαντος] φύλαντος C.D.F.G. 7. Ἀρμενίου] ἀρμονίου C. γρ. ἀρτεμίου S. 10. Θέσπις] Θέστιος A.H. παῖς Ἐρεχθέως] ἐρ. π. A.C.F.G.H. Ἀθηναῖος om. C.F.G. d. πεποιηκὼς] πεπονημένος H.V. πεποιημένος γρ. S. 2. Ἡρακλέος] Ἡρακλέους A.* Mox Ἡρακλῆν C.F.G. 5. ὁ δὲ ἐν] καὶ C.F.G. Mox διαφθείρας C.D.E. διαφθείρει F.G. 7. ἰόλην] αἰόλην C.F.G. θυσίαν] θυσίας C.F.G. 8. χιτῶνα καὶ ἱμ.] ἱμ. καὶ χιτ. A.H. 9. εἰώθη] εἰώθει A.C.F.G.

eoque tunicam Herculis ungeret. Paruit Deianira, atque apud se pharmacum servavit.

30 At Hercules rursus cum aliis duabus, quas bello ceperat consuevit, quarum altera Phyllantis cujusdam filia Antiochum, altera vero Astyanira nomine, rege Armenio parente sata, Ctesippum ei peperit. c. 37

31 Deinde Thespis Atheniensis Erecthei filius, qui ex diversis mulieribus filias quinquaginta genuerat, cum eas omnes ex Herculis complexu prolem suscipere vehementer optaret, eum ad solenne quoddam sacrificium invitat, eidemque magnifice admodum lauteque accepto singulas seorsim summittit. Ille autem cum omnibus una eademque nocte congressus, eorum qui Thespiadæ nominantur, pater effectus est. c. 29

32 Postremo cum Iolen quoque captivam abduxisset, sacris operam daturus, misit qui a Deianira conjuge tunicam et vestem acciperet, quibus in sacrificiis uti solitus erat. Deianira tunicam Centauri philtro perunctam c. 37 c. 38

ΔΙΟΔΩΡΟΥ

χιτῶνα χρίσασα τῷ παρὰ τοῦ Κενταύρου διδομένῳ φίλτρῳ
33 ἀποστέλλει. Ὁ δὲ Ἡρακλῆς τὸν χιτῶνα περιθέμενος περιέ-
πεσε συμφορᾷ τῇ μεγίστῃ. Τῆς γὰρ ἀκίδος τὸν ἐκ τῆς
Ἐχίδνης ἰὸν ἀπειληφυίας, καὶ διὰ τοῦτο τοῦ χιτῶνος διὰ τὴν
θερμασίαν τὴν σάρκα τοῦ σώματος λυμαινομένου, περιαλγὴς
γενόμενος τὸν διακονήσαντα ἀπέκτεινεν, αὐτὸς δὲ κατὰ χρη- p. 57
σμὸν πυρὶ ἑαυτὸν παραδοὺς, οὕτως κατέλυσε τὸν βίον. Καὶ
τὰ μὲν καθ' Ἡρακλέα τοιαῦτα.

34 Περὶ δὲ τοῦ Ἀσκληπιοῦ, φασὶν εἶναι υἱὸν Ἀπόλλωνος
καὶ Κορωνίδος, ζηλῶσαι δὲ τὴν ἰατρικὴν ἐπιστήμην, ἐπὶ τοσ-
οῦτον δὲ προβῆναι τῇ δόξῃ, ὡς πολλοὺς τῶν ἀπεγνωσμένων
ἀρρώστων παραδόξως θεραπεύειν· ὥστε τὸν Δία παροξυν-
θέντα κεραυνῷ βαλόντα αὐτὸν διαφθεῖραι, τὸν δὲ Ἀπόλλωνα
διὰ τὴν ἀναίρεσιν τοῦ παιδὸς παροξυνθέντα φονεῦσαι τοὺς
τὸν κεραυνὸν τῷ Διῒ κατασκευάσαντας Κύκλωπας· ἐπὶ δὲ τῇ b
τούτων τελευτῇ παροξυνθέντα τὸν Δία προστάξαι τῷ Ἀπόλ-
λωνι θητεῦσαι παρ' Ἀδμήτῳ, καὶ ταύτην τὴν τιμωρίαν λα-
βεῖν παρ' αὐτοῦ τῶν ἐγκλημάτων.

d 10. χρίσασα] χρήσασα C. 11. διδομένῳ] δεδομένῳ A. 12. τῇ μεγίστῃ συμφ.] συμ. τῇ μ. A.H. 15. λυμαινομένου] λυμηναμένου A.H.
p. 57. αὐτός τε] αὐτὸς δὲ A. Mox πυρὶ ἑαυτὸν om. C. 4. εἶναι υἱ. Ἀ. καὶ Φορ.] Ἀπ. υἱ. ε. καὶ Κορ. A.H. υἱ. ε. B.C.F.G. τοῦ Ἀπ. D. Κορώνιδος V. γρ. S. 6. τοσοῦτον] τοσούτῳ H. b 3. τῷ Ἀπόλλωνι] τὸν Ἀπόλλωνα A.H. 4. τὴν τιμ.] τὴν om. B.F.G. καὶ ταῦτα τιμ. λ. C. 5. τοῦ ἐγκλήματος] τῶν ἐγκλημάτων A.C.D.F.G.H.

33 nuncio ferendam tradit, quam simulatque Hercules induisset, in pestem longe teterrimam incidit: cum enim sagittæ ferrum quo Nessum vulneraverat Lernæ veneno tinctum esset, tunica corpus ejus vehementi ardore populabatur. Ille ergo vi doloris adactus, eum qui funestam ad se vestem attulerat, interfecit, idemque postmodum oraculi jussu vitam incendio
34 terminavit. Ac de Hercule modo satis. Jam vero quod Æsculapium attinet, hunc Apollinis ex Phoronide filium esse tradunt, qui cum medicinæ artem præcipuo quodam studio coleret, tantum est in ea laudis et gloriæ consequutus, ut plurimos etiam quorum deplorata jam salus erat, præter omnium expectationem incolumitati redderet: quod Juppiter cum moleste ferret, eum fulmine ictum vita spoliavit. Apollo vero interitu filii graviter commotus, Cyclopas fulminis illius artifices interemit: quorum cæde Juppiter vehementius exasperatus Apollinem jussit humilem ac sordidam Admeto regi operam navare, hancque ab eo commissi facinoris pœnam expetivit.

c. 71. De Æsculapio fabulæ.

35 Ταῦτα μὲν οὖν ἐν τῷ τετάρτῳ τῶν βιβλιοθηκῶν ὁ Διόδωρος παρατέθειται. Καὶ τὴν λοιπὴν δὲ θεολογίαν πάλιν ὁ αὐτὸς ἐκ τῶν ἄλλων ἐθνῶν μετειληφέναι φησὶ τοὺς Ἕλληνας, γράφων ἐν τῷ τρίτῳ τῆς αὐτοῦ ἱστορίας τάδε·

ΔΙΟΔΩΡΟΥ

36 Φασὶ τοίνυν Ἀτλάντειοι πρῶτον παρ' αὐτοῖς βασιλεῦσαι c
Οὐρανὸν, τούτου δὲ γενέσθαι παῖδας ἐκ πλειόνων γυναικῶν
πέντε πρὸς τοῖς τεσσαράκοντα, ὧν ὀκτωκαίδεκα λέγουσιν
ὑπάρχειν ἐκ Τεπαίας γυναικὸς, ἣν σώφρονα γενομένην καὶ
πολλῶν ἀγαθῶν αἰτίαν ἀποθεωθῆναι μετὰ τὴν τελευτὴν, Γῆν
37 μετονομασθεῖσαν. Γενέσθαι δὲ Οὐρανῷ θυγατέρας Βασί-
λειαν καὶ Ῥέαν, τὴν καὶ Πανδώραν. Τὴν δὲ Βασίλειαν ἐκ-
θρέψασαν τοὺς ἀδελφοὺς μητρὸς εὔνοιαν παρεχομένην Μητέρα
38 προσαγορευθῆναι. Ὕστερον δὲ μετὰ τὴν τοῦ Οὐρανοῦ τε- d
[37] λευτὴν συνοικήσασαν Ὑπερίονι τῷ ἀδελφῷ γεννῆσαι δύο
39 παῖδας, οὓς καὶ ὀνόμασαι Ἥλιον καὶ Σελήνην. Τοὺς δὲ
ἀδελφοὺς τῆς Ῥέας φοβηθέντας, τὸν μὲν Ὑπερίονα κατα-

b 6. τῷ τετ.] τῷ om. C.F.G. 7. παρατέθειται] παρατέθηται C. παρατέθεικαι H. 10. αὐτῆς] αὐτοῦ C.D.G. 11. Ἀτλάντιοι] ἀτλάντειοι A.H. Supra φησὶ D. Mox οὐρανὸν βασιλεῦσαι et ὑπάρχειν λέγουσιν H. c 4. ἐκ Τεπαίας] ἔκ τε παίας A. ἐκ τεπέας B.D. ἐκ τεσπέας C.F.G. τιταίας Diodorus. 7. γῆν] τὴν A. om. H. qui προ ὀνομασθεῖσαν. 8. οὐρανῷ] οὐρανοῦ A.H. Ῥέαν τὴν] ῥεάς αὐτὴν C. Tum τὴν Πανδώραν D. 11. παρεχομένην] παρεχομένους C.F.G. d 2. συνοικήσασαν] συνοικίσασαν C.F.G. 3. ὠνόμασεν] ὀνομάσαι A.B.C.F.G.V. γρ. S. ὀνόμασεν ut videtur H.

35 Atque hæc Diodorus libro bibliothecæ quarto commemorat. Idem autem, Græcos reliquam pariter suæ theologiæ sylvam ab exteris nationibus mutuatos esse docens, operis sui tertio ita fere scribit.

36 Cœlum Atlantii primum apud se regnasse dictitant, qui liberos quinque III. c. 56
supra quadraginta ex pluribus mulieribus procrearit, quorum octodecim c. 57
Titæa matre natos esse volunt. Hanc vero, quod singulari temperantiæ Atlantiorum theologia.
laude floruisset, ac de suis optime merita esset, divinitatem post obitum
37 consequutam, novoque nomine Terram appellatam fuisse. Præterea Cœli
filias Basileam, Rheamque laudant, quæ Pandora quoque nominatur. Ac
Basileam quidem aiunt, quod materna plane benevolentia fratres educasset,
38 Matrem esse nuncupatam: cumque Cœlo jam vita functo cum Hyperione
fratre matrimonium iniisset, liberos genuisse duos, quorum alterum Solem,
39 alteram Lunam vocarit: Rheæ vero fratres quod ab iis sibi metuerent,
Hyperionem primum jugulasse, deinde Solem Eridani fluminis aquis

ΔΙΟΔΩΡΟΥ

σφάξαι, τὸν δὲ Ἥλιον εἰς τὸν Ἠριδανὸν ποταμὸν ἀποπνίξαι· τὴν δὲ Σελήνην ταῦτα μαθοῦσαν ἀπὸ τέγους ἑαυτὴν ῥίψαι, τὴν δὲ Μητέρα ἐμμανῆ γενομένην πλανᾶσθαι κατὰ τὴν χώραν, λελυμένην μὲν τὰς τρίχας, διὰ τυμπάνων δὲ καὶ κυμβάλων ἐνθεάζουσαν, καὶ ὅλως ἀφανῆ καὶ αὐτὴν γενέσθαι.

40 Τοὺς δὲ ὄχλους θαυμάσαντας τὴν περιπέτειαν τὸν μὲν Ἥλιον καὶ τὴν Σελήνην μεταγαγεῖν ἐπὶ τὰ κατ' οὐρανὸν ἄστρα, τὴν δὲ μητέρα τούτων θεόν τε νομίσαι, καὶ βωμοὺς ἱδρύσασθαι, καὶ ταῖς διὰ τυμπάνων καὶ κυμβάλων ἐνεργείαις τιμῆσαι.

41 Φρύγες δέ φασι Μηόνα βασιλεύσαντα τῆς Φρυγίας παῖδα p. 58 Κυβέλην κτήσασθαι, ἣν καὶ σύριγγα πρώτην εὑρεῖν, κληθῆναί τε ὀρείαν μητέρα. Μαρσύαν δὲ τὸν Φρύγα πρὸς ταύτην φιλίαν ἔχοντα πρῶτον αὐλοὺς συστήσασθαι, διατελέσαι δὲ

42 μέχρι τελευτῆς ἀπείρατον ἀφροδισίων. Τὴν δὲ Κυβέλην συνελθοῦσαν εἰς ὁμιλίαν Ἄττιδι γενέσθαι ἐγκύμονα. Οὗ γνωσθέντος, ὁ ταύτης πατὴρ τὸν Ἄττιν ἀναιρεῖ καὶ τὰς τροφούς· τὴν δὲ Κυβέλην ἐμμανῆ γενομένην ἐπὶ τὴν χώραν

d 8. στέγους] τέγους A.E.H. Mox ἐκμανῆ H. 10. μὲν τὰς] δὲ τὰς A.H. Mox καὶ διὰ τυμπ. F. διὰ om. H. 11. δὲ καὶ] δὲ om. A.H. ἐνθεάζουσαν] θεάζουσαν A.H. qui οὕτως pro ὅλως. pen. τήν τε] τὴν δὲ B.C.D.

p. 58. φασι μηόνα] μηόνα φ. A.B.C.F.G.H. Mox κυβέλλην D. 4. τε ὀρείαν] τε θρείαν A. τε τρείαν V. τε θρείαν H. 8. ἄττιδι ἄττι A. Mox εἰς ἐγκ. A.H. 10. τὰς τροφ.] τοὺς τροφ. C.F.G. 11. ἐπὶ τὴν] εἰς τὴν H.

præfocasse; Lunam autem, accepto diræ calamitatis nuncio, sese de summo tecto præcipitem dedisse: Matrem denique furore actam, sparsis crinibus, tympanisque ac cymbalis afflatum numinis et impetum ostendentem, totam passim regionem oberrasse, donec ipsa quoque omnium ex

40 oculis evanuisset. Itaque multitudinem hujus novitate casus attonitam, Solem atque Lunam in gemina Cœli sidera transtulisse, utriusque vero matrem deæ loco habitam erectis altaribus, et usurpato simili tympanorum cymbalorumque crepitu coluisse.

c. 58. 41 At vero Phryges Meonem quendam aiunt Phrygiæ regem filiam habuisse nomine Cybelem, quæ prima fistulam invenerit, et montana mater appellata fuerit: Marsyam autem patria Phrygem, cum ipsi familiaris esset, tibias conflavisse; et corporis integritatem a rebus venereis immunem ac

c. 59. 42 liberam ad obitum usque servasse. Addunt præterea Cybeles patrem, cum eam ex Attidis consuetudine uterum gestare comperisset, de medio non Attin modo, sed ipsas quoque nutrices sustulisse: qui adolescentis interitus eo Cybeles animum furore concitavit, ut per universam regionem

ΔΙΟΔΩΡΟΥ

ἐκπηδῆσαι, ἐκεῖσέ τε ὀλολύζουσαν καὶ τυμπανίζουσαν διατε- b
43 λεῖν. Συνεῖναι δὲ αὐτῇ Μαρσύαν, ὃν εἰς ἅμιλλαν περὶ μου-
σικῆς ἐλθόντα τῷ Ἀπόλλωνι καὶ ἡττηθέντα, ζῶντα ὑπὸ τοῦ
44 Ἀπόλλωνος ἐκδαρῆναι. Τὸν δὲ Ἀπόλλωνα ἐρασθέντα τῆς
Κυβέλης συμπλακῆναι αὐτῇ μέχρι τῶν Ὑπερβορέων, κε-
λεῦσαί τε θάψαι τὸ Ἄττιδος σῶμα καὶ τιμᾶν ὡς θεὸν τὴν
Κυβέλην. Διόπερ εἰσέτι καὶ σήμερον τοὺς Φρύγας τοῦτο
ποιεῖν, θρηνοῦντας τοῦ μειρακίου τὸν θάνατον, βωμούς τε
ἱδρυσαμένους θυσίαις Ἄττιν τε καὶ τὴν Κυβέλην τιμᾶν. c
45 Ὕστερον δὲ ἐν Πισινοῦντι τῆς Φρυγίας κατασκευάσαι νεὼν
πολυτελῆ, καὶ τιμὰς καὶ θυσίας καταδεῖξαι μεγαλοπρεπε-
στάτας.

46 Μετὰ δὲ τὴν Ὑπερίονος τελευτὴν τοὺς Οὐρανοῦ παῖδας διελέσθαι τὴν βασιλείαν, ὧν ὑπάρχειν ἐπιφανεστάτους Ἄτλαντα καὶ Κρόνον. Τούτων δὲ τὸν Ἄτλαντα λαβεῖν τοὺς παρὰ τὸν Ὠκεανὸν τόπους, γενόμενον ἀστρολόγον ἄριστον· ὑπάρξαι δὲ αὐτῷ καὶ θυγατέρας ἑπτὰ, τὰς καλουμένας Ἀτ-

a 12. ἐκεῖσέ τε] τε om. D. b 4. ζῶντα om. A.H. et nescio an V. νικηθέντα D. pro ἡττ. Supra καὶ om. F.G. 6. συμπλακῆναι] [νε] συνευθῆναι A. συνευνηθῆναι H. συμπλανηθῆναι B. γρ. S. Diod. ceteri cum Steph. συμπλακῆναι. c. τε καὶ] τε om. B.C.D.F.G.H. 2. πεσινοῦντι] πισινοῦντι A.B.H. πισσινοῦνι C. πισσινοῦντι D.F.G. ναὸν] νεὼν A.H. 3. καταδεῖξαι] δεῖξαι A.H. 7. τοῦτον] τούτων A.B.H. 9. ἄριστον] μέγιστον H. γρ. S.

43 cum ululatibus, ac tympanorum sonitu perpetuo discursaret. Porro
Marsyam tum quidem ut plurimum cum ea versatum esse, postea vero
ab Apolline, qui victoriam ex musico certamine cum eodem commisso
44 retulerat, cutem ipsi vivo ac spiranti detractam fuisse. Deinde Apollinem
Cybeles amore flagrantem, errorum ei sese ad Hyperboreos usque comitem
ac socium præbuisse, Attidisque cadaver sepeliri, Cybelemque ipsam pro
dea coli jussisse: quæ caussa sit, quamobrem Phryges etiamnum hunc
morem ita retineant, ut adolescentis interitum lachrymis luctuque prose-
quantur, eumque cum Cybele tum extructis aris, tum solennibus sacrificiis
45 venerentur. Quinetiam ab iisdem postmodum in Pessinunte Phrygiæ
oppido superbum ac magnificum illi templum excitatum, in eoque sacrificia
honoresque divinos maximo splendidissimoque apparatu institutos fuisse.
46 Jam vero Cœli filios Hyperione sublato regnum inter sese divisisse, c. 60
quorum longe clarissimi Atlas et Saturnus evaserint. Atque Atlantem
quidem vicina Oceano loca tenuisse, rara quadam astrologiæ cognitione
præstantem. Hunc septem filias habuisse nomine Atlantidas, quæ ex

ΔΙΟΔΩ-ΡΟΥ

λαντίδας. Ταύτας δὲ μιγείσας τοῖς εὐφυεστάτοις θεοῖς d
ἀρχηγοὺς καταστῆναι τοῦ πλείστου γένους, τεκούσας δι' ἀρε-
τὴν θεοὺς καὶ ἥρωας, ὧν τὴν πρεσβυτάτην Μαίαν Διῒ μιγεῖ-
σαν τεκνοποιῆσαι τὸν Ἑρμῆν.
47 Τὸν δὲ Κρόνον διαφέροντα πλεονεξίᾳ καὶ ἀσελγείᾳ γῆμαι
τὴν ἀδελφὴν Ῥέαν, ἐξ ἧς γεννῆσαι τὸν Δία. Γεγονέναι δὲ
καὶ ἕτερον Δία, τὸν ἀδελφὸν μὲν Οὐρανοῦ, τῆς δὲ Κρήτης
βασιλεύσαντα, τῇ δόξῃ πολὺ λειπόμενον τοῦ μεταγενεστέ-
48 ρου. Τοῦτον μὲν οὖν βασιλεῦσαι τοῦ σύμπαντος κόσμου·
τὸν δὲ τῆς Κρήτης καὶ δέκα παῖδας γεννῆσαι τοὺς ὀνομασθέν-
τας Κούρητας. Δείκνυσθαι δὲ αὐτοῦ φασὶν εἰσέτι νῦν τάφον
49 ἐν Κρήτῃ. Δυναστεῦσαι δὲ τὸν Κρόνον κατὰ Σικελίαν καὶ p. 59
Λιβύην καὶ Ἰταλίαν. Τούτου δὲ γενόμενον τὸν Δία, τὸν
ἐναντίον τῷ πατρὶ βίον ζηλῶσαι. Διαδέξασθαι δὲ αὐτὸν
τὴν βασιλείαν οἱ μέν φασιν ἑκόντος τοῦ πατρὸς παραχωρή-
σαντος· οἱ δὲ ὑπὸ τῶν ὄχλων αἱρεθέντα διὰ τὸ μῖσος τὸ
50 πρὸς τὸν πατέρα. Ἐπιστρατεύσαντος δὲ ἐπ' αὐτὸν τοῦ Κρό-
νου μετὰ τὸν Τιτάνων, κρατῆσαι μάχῃ τὸν Δία, καὶ ἐπελ-

d 3. Μαίαν] ῥέαν B.C.F.G. γρ. S. 5. ἀσελγείᾳ] ἀσεβείᾳ D.F.G.V. γρ. S. 8. μὲν Οὐρ.] τοῦ οὐρ. C.F.G. 10. μεταγενεστέρου] προγενεστέρου A. τὸν προγενέστερον H. τοῦτον μὲν οὖν] οὖν om. C.D.F.G. 11. τῆς κρήτης καὶ] τῆς et καὶ om. A.H.

p. 59. 2. γενομένου τὸν Δία] γενέσθαι τὸν Δ. καὶ A.H.S.V. γενόμενον Viger. 3. βίον] βίου F. 6. αἱρεθέντα] εὑρεθέντα A.H. Supra τὸν ὄχλον D. 8. ἐπ' αὐτὸν τοῦ Κρ.] τοῦ Κρ. ἐπ' ἀ. A. τοῦ χρ. ἐ. ἀ. H.

primariorum eximiæque indolis deorum concubitu amplissimi generis
capita ducesque fuerint, susceptis ejusmodi liberis, quos propter virtutem
in deorum heroumque numero postea censuerunt. Earum vero natu
c. 61. 47 maximam, quæ Maia vocabatur, Mercurium Jovi peperisse. At Saturnum
non minus avaritia quam libidine intemperantiaque famosum, Rheam
sororem secum matrimonio conjunxisse, ex eaque Jovem suscepisse. Et
alium quidem jam ante Jovem extitisse, qui Cœli frater cum esset in Creta
regnaverat, quem tamen posterior hic longo dignitatis et gloriæ superarit
48 intervallo. Quippe, hunc enim orbi terrarum universo imperasse, cum
prior ille soli Cretæ dominatus esset, ubi decem filios Curetas nomine
procrearit; cujus etiam adhuc sepulchrum in Creta ostendi fama est.
49 Porro Saturnum Siciliam, Libyam, et Italiam imperio tenuisse, cujus filius
Jupiter vitæ rationem inierit paternæ omnino contrariam. Hunc alii
regnum cedente ultro patre capessisse volunt, alii consensu populorum
50 qui patrem odio prosequerentur electum fuisse: cumque Saturnus Titanum auxilio fretus in filium movisset, commisso prælio Jovi cessisse

ΔΙΟΔΩΡΟΥ

θεῖν πᾶσαν τὴν οἰκουμένην. Διενεγκεῖν δὲ αὐτὸν σώματος ῥώμῃ καὶ ταῖς ἄλλαις ἀρεταῖς, σπουδήν τε ποιεῖσθαι πᾶσαν b εἰς κόλασιν μὲν τῶν ἀσεβῶν εὐεργεσίας δὲ τῶν ἀγαθῶν, ἀνθ' [38] ὧν μετὰ τὴν ἐξ ἀνθρώπων μετάστασιν ὀνομασθῆναι Ζῆνα, διὰ τὸ δοκεῖν τοῦ καλῶς ζῆν αἴτιον γενέσθαι τοῖς ἀνθρώποις.

51 Τῶν μὲν οὖν παρὰ τοῖς Ἀτλαντείοις θεολογουμένων τὰ κεφάλαια ταῦτά ἐστι. Τούτοις δέ φασι καὶ τοὺς Ἕλληνας συγχρῆσθαι.

52 Ταῦτα ὁ Διόδωρος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν. Ὁ δ' αὐτὸς καὶ ἐν τῇ ἕκτῃ ἀπὸ τῆς Εὐημέρου τοῦ Μεσσηνίου γραφῆς ἐπικυροῖ τὴν αὐτὴν θεολογίαν, ὧδε κατὰ λέξιν c φάσκων·

53 Περὶ θεῶν τοίνυν διττὰς οἱ παλαιοὶ τῶν ἀνθρώπων τοῖς μεταγενεστέροις παραδεδώκασιν ἐννοίας. Τοὺς μὲν γὰρ ἀϊδίους καὶ ἀφθάρτους εἶναί φασιν, οἷον ἥλιόν τε καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα τὰ κατ' οὐρανὸν, πρὸς δὲ τούτοις ἀνέ-

a 10. *αὐτὸν* om. A.H. b. *πᾶσαν*] *τὴν π.* A.H. qui mox om. *μέν.* *πᾶσαν* om. E.F.G. 3. *μετάστασιν*] *ἀνάστασιν* C.D.F.G. 5. *περὶ τοῖς ἀτλαντίοις*] *παρὰ τοῖς ἀνθρώποις ἀτλαντείοις* A.H. *παρὰ τ. ἀ.* C.F.G. *παρὰ* Vigeri margo. 8. *συγχρῆσθαι*] *χρῆσθαι* C. c. *αὐτὴν*] *αὐτοῦ* C.F.G. *ὧδε κατὰ λέξιν*] *κατὰ λ. ὧ.* A.H. 3. *τὰς μεταγενεστέρας δεδώκασιν*] *τοῖς μεταγενεστέροις παραδεδώκασιν* A.H. *τοῖς μεταγενεστέροις* S. Vigeri margo. 4. *εἶναί φασιν οἷον ἥλιον*] *φασιν ἥλιόν τε καὶ* A.H. 5. *τὰ κατ' οὐ. ἄ.*] *ἄστρα τὰ κ. ο.* A.H. *τὰ* om. F.

victoriam, qui universum postea mundum peragrarit. Eundem non robore modo corporis, sed aliarum quoque virtutum laude præstitisse, in eoque curam omnem ac studium posuisse, uti sceleratos quidem meritis pœnis afficeret, bonos autem beneficiis cumularet: id quod in caussa fuerit, cur eum rebus humanis subductum Ζῆνα, hoc est vitæ parentem nominarint,
51 quod hominibus ipse bene vivendi auctor fuisse videretur. Atque hæc sunt Atlantiorum theologiæ summa veluti capita, quibus ipsos quoque Græcos uti solitos esse tradunt.

52 Hactenus Diodorus historiarum volumine tertio, qui ejusdem operis sexto hanc ipsam de numinum ratione sententiam Euemeri cujusdam Messenii verbis testimonioque confirmat, ita scribens.

Diod. Sic. T. II. p. 633. ed. Wessel.

53 Deorum, inquit, notiones posteris suis veteres tradiderunt omnino duas: alios enim sempiternos et omnis expertes interitus esse dicunt, cujusmodi solem, lunam, ac reliqua cœli astra commemorant, itemque ventos, atque

ΔΙΟΔΩΡΟΥ

μους καὶ τοὺς ἄλλους τοὺς τῆς ὁμοίας φύσεως τούτοις τετευχότας· τούτων γὰρ ἕκαστον ἀΐδιον ἔχειν τὴν γένεσιν καὶ τὴν διαμονήν· ἑτέρους δὲ λέγουσιν ἐπιγείους γενέσθαι θεούς, διὰ δὲ τὰς εἰς ἀνθρώπους εὐεργεσίας ἀθανάτου τετυχηκότας τιμῆς τε καὶ δόξης, οἷον Ἡρακλέα, Διόνυσον, Ἀρισταῖον, καὶ τοὺς
54 ἄλλους τοὺς τούτοις ὁμοίους. Περὶ δὲ τῶν ἐπιγείων θεῶν πολλοὶ καὶ ποικίλοι παραδέδονται λόγοι παρὰ τοῖς ἱστορικοῖς d τε καὶ μυθογράφοις. Καὶ τῶν μὲν ἱστορικῶν Εὐήμερος, ὁ τὴν ἱερὰν ἀναγραφὴν ποιησάμενος, ἰδίως ἀναγέγραφεν, τῶν δὲ μυθολόγων Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς καὶ ἕτεροι τοιοῦτοι τερατωδεστέρους μύθους περὶ θεῶν πεπλάκασιν· ἡμεῖς δὲ τὰ παρ' ἀμφοτέροις ἀναγεγραμμένα πειρασόμεθα συντόμως ἐπιδραμεῖν, στοχαζόμενοι τῆς συμμετρίας.

55 Εὐήμερος μὲν οὖν φίλος γεγονὼς Κασάνδρου τοῦ βασιλέως, καὶ διὰ τοῦτον ἠναγκασμένος τελεῖν βασιλικάς τινας χρείας καὶ μεγάλας ἀποδημίας, φησὶν ἐκτοπισθῆναι κατὰ τὴν p. 60

c 8. τούτοις om. C.F.G. ἀΐδιον] ἴδιον A. ἰδίαν H. 10 ἐπιγείους] ὑπογείου F. 11. εὐεργεσίας] εὐεργ. ἀθανάτου A.C.G.H. γρ. S. ε. ἀθανάτους F. Tum τετευχότας A. τιμῆς τε καὶ H. τε καὶ item F. 13. Ἀρισταῖον καὶ] ἀνταῖον H. καὶ τοὺς] καὶ om. C.D.F.G. τοὺς τοιούτους ὁμοίως] τοὺς τούτοις ὁμοίους A.H. ὁμοίους item C.F.G. d. παραδέδονται] παραδίδονται C.D.F.G. Supra καὶ om. F. 2. τε καὶ] τε om. A.H. ἱστορικῶν] ἱστοριῶν B. 4. ἀνέγραψε] ἀναγέγραφεν A. 6. τερατωδεστέροις μύθοις H. 10. Εὐήμερος—διαφέροντας om. B. μὲν οὖν] γοῦν C.F.G. 11. Κασσάνδρου βασ.] Κασάνδρου A.C.F.G. Tum τοῦ β. A.H. 12. ἠναγκασμένος] ἠναγκασμένως D. ult. χρείας καὶ μεγάλας ἀποδημίας] καὶ μεγάλας χρείας ἀποδημίᾳ A.H.
p. 60. ἐκτοπισθῆναι] ἀποτοπισθῆναι A.H.

id genus cæteros, qui similem iis naturam sortiti sint: nullum enim istorum nec ortus sui principium habuisse, nec desiturum unquam esse: alios vero, terreni cum nati essent, tamen propter ea beneficia quibus hominum sibi genus obstrinxerant, cultum et gloriam consequutos fuisse, quorum in numero Herculem, Bacchum, Aristæum, cum aliis quorum
54 similis caussa erat, posuerunt. Cæterum multa sane admodumque varia de terrenis hisce numinibus cum historici, tum fabularum quoque scriptores memoriæ prodiderunt. Euemerus quidem inter historicos, in sacra illa quam scripsit historia proprium hoc sibi delegit argumentum: ex poetis autem Homerus, Hesiodus, Orpheus ac cæteri quibus fabulæ placuerunt, prodigiosa quædam monstrisque similia de diis commenta somniarunt. Nos vero quæ ab utroque scriptorum genere accepimus, ut modum aliquem teneamus, breviter ea summatimque percurrere conabimur.

Euemeri theologiæ et historiæ.

55 Euemerus igitur quod regis Cassandri amicus esset, cum ejus

ΔΙΟΔΩΡΟΥ

μεσημβρίαν εἰς τὸν ὠκεανόν· ἐκπλεύσαντα δὲ αὐτὸν ἐκ τῆς
εὐδαίμονος Ἀραβίας ποιήσασθαι τὸν πλοῦν δι' ὠκεανοῦ
πλείους ἡμέρας, καὶ προσενεχθῆναι νήσοις πελαγίαις· ὧν μίαν
ὑπάρχειν τὴν ὀνομαζομένην Πάγχαιαν, ἐν ᾗ τεθεᾶσθαι τοὺς
ἐνοικοῦντας Παγχαίους εὐσεβείᾳ διαφέροντας, καὶ τοὺς θεοὺς
τιμῶντας μεγαλοπρεπεστάταις θυσίαις, καὶ ἀναθήμασιν ἀξιο-
56 λόγοις, ἀργυροῖς τε καὶ χρυσοῖς. Εἶναι δὲ καὶ τὴν νῆσον
ἱερὰν θεῶν· καὶ ἕτερα πλείω θαυμαζόμενα κατά τε τὴν ἀρ- b
χαιότητα, καὶ τὴν τῆς κατασκευῆς πολυτεχνίαν, περὶ ὧν τὰ
κατὰ μέρος ἐν ταῖς πρὸ ταύτης βίβλοις ἀναγεγράφαμεν.
57 Εἶναι δ' ἐν αὐτῇ κατά τινα λόφον ὑψηλὸν καθ' ὑπερβολὴν
ἱερὸν Διὸς Τριφυλαίου, καθιδρυμένον ὑπ' αὐτοῦ, καθ' ὃν και-
ρὸν ἐβασίλευσε τῆς οἰκουμένης ἁπάσης ἔτι κατὰ ἀνθρώπους
ὤν. Ἐν τούτῳ τῷ ἱερῷ στήλην εἶναι χρυσῆν, ἐν ᾗ τοῖς
Παγχαίοις γράμμασιν ὑπάρχειν γεγραμμένας τάς τε Οὐρα-
58 νοῦ καὶ Κρόνου καὶ Διὸς πράξεις κεφαλαιωδῶς. Μετὰ ταῦτά c
φησι πρῶτον Οὐρανὸν βασιλέα γεγονέναι, ἐπιεικῆ τινα ἄνδρα

a 2. δὲ αὐτὸν] γὰρ αὐτὸν A.C.F.G. 5. πλαγίαις] πελαγίαις C.F.G.H. ὑπερέχειν] ὑπάρχειν A.C.D.F.G.H. γρ. S. 6. Παχαίαν] Παγχαίαν D. πάγχαιαν F.G. 8. καὶ τοὺς θεοὺς τιμῶντας] τοὺς δὲ θεοὺς τιμῶντες B. 10. δὲ τὴν] δὲ καὶ τὴν A.C.D.F.G.H. 11. θεὸν] θεῶν A.B.C.D.H. Vigeri margo. b 4. ἐν αὐτῇ] ἐν om. A.H. 7. ἐβασίλευσε] ἐβασίλευε C. 8. ἱερῷ] ὄρει B.C.D.F.G. Mox ἐν ᾗ στήλῃ H. 10. τάς τε] τὰς τοῦ A.H. τάς γε D. c 2. βασιλέα γεγονέναι] γεγ. βασ. A.

caussa regia quædam obire munia, et longinquas instituere peregrinationes
cogeretur, sese in oceanum aliquando meridiem versus delatum esse
commemorat: cum autem ex felice Arabia solvisset, multos in oceano
dies navigationis cursum tenuisse, donec ad transversas quasdam et
obliquas insulas appelleret, ex quibus ea quæ cæteris eminebat, Panchæa
dicebatur. Hic vero se Panchæos insulares vidisse, qui pietate ac religione
præstarent, deosque magnifico admodum sacrificiorum apparatu, donisque
56 pretiosissimis auro argentoque fulgentibus venerarentur. Hanc igitur
insulam diis sacram esse, in qua cum alia pleraque viserentur, quæ admi-
rationem partim vetustate rerum, partim singulari artis excellentia com-
57 moverent, quæque superioribus libris persequuti sumus; tum in quodam
mirum in modum edito colle Jovis Triphylæi templum ab eodem olim
dum adhuc inter homines ageret, orbique terrarum imperaret, excitatum,
In hoc aureum cippum fuisse, qui res a Cœlo, Saturno, ac Jove præclare
58 gestas Panchaicis literis summatim exaratas contineret. Quibus subjungit,
Cœlum omnium principem regnasse, virum ut summæ æquitatis, sic

ΔΙΟΔΩΡΟΥ καὶ εὐεργετικὸν καὶ τῆς τῶν ἄστρων κινήσεως ἐπιστήμονα·
ὃν καὶ πρῶτον θυσίαις τιμῆσαι τοὺς οὐρανίους θεοὺς, διὸ καὶ
59 Οὐρανὸν προσαγορευθῆναι. Υἱοὺς δὲ αὐτῷ γενέσθαι ἀπὸ
γυναικὸς Ἑστίας Πᾶνα καὶ Κρόνον· θυγατέρας δὲ Ῥέαν καὶ
Δήμητραν. Κρόνον δὲ βασιλεῦσαι μετὰ οὐρανὸν, καὶ γή-
60 μαντα Ῥέαν γεννῆσαι Δία καὶ Ἥραν καὶ Ποσειδῶνα. Τὸν
δὲ Δία διαδεξάμενον τὴν βασιλείαν τοῦ Κρόνου γῆμαι Ἥραν d
καὶ Δήμητραν καὶ Θέμιν· ἐξ ὧν παῖδας ποιήσασθαι Κουρῆτας
μὲν ἀπὸ τῆς πρώτης, Περσεφόνην δὲ ἐκ τῆς δευτέρας, Ἀθη-
61 νᾶν δὲ ἀπὸ τῆς τρίτης. Ἐλθόντα δὲ εἰς Βαβυλῶνα ἐπιξενω-
θῆναι Βήλῳ· καὶ μετὰ ταῦτα εἰς τὴν Πάγχαιαν νῆσον πρὸς
τῷ ὠκεανῷ κειμένην παραγενόμενον Οὐρανοῦ τοῦ ἰδίου προ-
πάτορος βωμὸν ἱδρύσασθαι· κἀκεῖθεν διὰ Συρίας ἐλθεῖν πρὸς
τὸν τότε δυνάστην Κάσσιον, ἐξ οὗ τὸ Κάσσιον ὄρος· ἐλθόντα
δὲ εἰς Κιλικίαν πολέμῳ νικῆσαι Κίλικα τοπάρχην. Καὶ
ἄλλα δὲ πλεῖστα ἔθνη ἐπελθόντα παρ' ἅπασι τιμηθῆναι, καὶ
θεὸν ἀναγορευθῆναι.

c 3. εὐεργέτην] εὐεργετικὸν A. 4. τιμῆσαι om. F. 7. θυγατέρας—Δήμητραν om. H. qui infra om. τοῦ κρόνου. d. Ἥραν] ῥέαν B.F.G. 4. ἐλθόντα—τοῖς ῥηθεῖσι om. B. 6. ὠκεανῷ] τῷ ὠκ. A.C.F.G. τὸ ὠκεανοῦ H. 7. παραγενόμενος] παραγενόμενον A.H. 10. καὶ τὸ] καὶ om. A. δὲ εἰς] τε εἰς A.H. 12. παρ' ἅπασι] παρὰ πᾶσιν A.

benignitatis in omnes eximiæ, quique siderum motus et conversiones
apprime calleret, ipsumque adeo quod primus sacrificiis cœlestia numina
59 coluisset, Cœli cognomentum invenisse. Eundem filios ex Vesta conjuge
duos habuisse Panem et Saturnum, filiasque totidem, Rheam ac Cererem.
Ipsi vero Saturnum in regnum successisse, qui Rhea secum toro juncta
60 Jovem, Junonem, ac Neptunum procrearit. Jovem autem, cum Saturni
regnum hæreditario jure accepisset, uxores duxisse tres, Junonem, Cererem, ac Themidem, quarum ex prima Curetas, Proserpinam ex secunda,
61 ex tertia denique Palladem susceperit. In Babylonem cum venisset, hospitio Beli usum esse, indeque simulac in insulam Panchæam oceano proximam delatus fuisset, aram Cœlo cujus nepos erat sacram erexisse: atque hinc per Syriam ad Cassium quendam, a quo mons Cassius nomen acceperit, ejusdem ævi principem sese contulisse: mox in Ciliciam ventum cum esset, bello Cilicem toparcham superasse; denique ab omnibus gentibus quas ille plurimas obiisset, honores consequutum, deumque renunciatum fuisse.

62 Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ὡς περὶ θνητῶν ἀνδρῶν περὶ τῶν θεῶν διελθὼν, ἐπιφέρει λέγων,

Καὶ περὶ μὲν Εὐημέρου τοῦ συνταξαμένου τὴν ἱερὰν ἀναγραφὴν ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι· τὰ δὲ παρὰ τοῖς Ἕλ- p. 61 ΔΙΟΔΩΡΟΥ
λησι μυθολογούμενα περὶ θεῶν ἀκολούθως Ἡσιόδῳ καὶ Ὁμήρῳ καὶ Ὀρφεῖ πειρασόμεθα συντόμως ἐπιδραμεῖν.

Εἶθ' ἑξῆς ἐπισυνάπτει τὰς τῶν ποιητῶν μυθολογίας.

63 Ἀλλὰ γὰρ τοσαῦτα καὶ ἀπὸ τῆς Ἑλλήνων θεολογίας ἀποχρώντως ἡμῖν ἀποτετμήσθω, οἷς εὔλογον ἐπισυνάψαι τῶν αὐτῶν θεῶν τὰς ἐν τοῖς ἀδύτοις τελετὰς καὶ τὰ ἀπόρρητα μυστήρια, σκέψασθαί τε πότερον θείας b
ὡς ἀληθῶς θεολογίας ἐχούσης τι θεοπρεπὲς δεῖγμα φέρουσιν, ἢ κάτωθέν ποθεν ἀπὸ μακρᾶς καὶ δαιμονικῆς πλάνης ὁρμῶνται, γέλωτος ἢ καὶ μᾶλλον αἰσχύνης μᾶλλον
64 δὲ καὶ τοῖς ἔτι τυφλώττουσιν οἴκτου ὄντα ἄξια. Ταῦτα δὲ Κλήμης ὁ θαυμάσιος ἐν τῷ πρὸς Ἕλληνας Προτρε-

d 13. ταῦτα] ταῦτα μὲν F.
p. 61. 6. ἐπισυνάπτει] ἐπισυνάπτειν H. 9. ἀποτετμήσθω] ἐπιτετ. B.C.F.G. ἀποτετιμ. H. b. πότερον] πρότερον εἰ H. θείας] εἰς θείας A. ὡς ἀληθῶς θείας F.G. 2. ἐχούσας] ἐχούσης A. (as) ἐχόυσης B.C.F.H. καὶ εὐδαιμονικῆς add. F. 5. τοῖς] καὶ τοῖς C.D.F.G.

62 Hæc Diodorus aliaque his similia de numinibus, sic tanquam de hominibus morti obnoxiis ubi disputavit, ita prosequitur.

Ac Euemerum quidem quod attinet, qui sacram conscripsit historiam, hæc ab illo mutuatos nos esse sufficiat: deinceps, quas de natura deorum Græci fabulas vulgaverunt, Hesiodi, Homeri, Orpheique vestigiis insistentes, carptim summatimque perstringere conabimur.

63 Tum superioribus illis Græcorum poetarum fictiones attexit. Sed enim ista nobis Græcorum theologiæ quasi fragmenta satis erunt, quibus opportunum utique fuerit solennes eorundem numinum in templorum adytis initiandi ritus, arcanaque mysteriorum sacra subjungere, ac diligenter simul videre, num vere divinas illi numinum rationes, deoque dignum aliquid complexas religiones inferant, an contra ab inferis excitatos errores ac dæmonum fraudibus dolisque conflatos obtrudant, quos risus, immo pudor ex rerum indignitate contractus, aut eorum potius, qui tanta etiamnum in cæcitate ver-
64 santur, commiseratio jure ac merito excipiat. Atque horum turpitudinem admirabilis ille Clemens, ea quam ad Græcos dirigit cohor-

πτικῷ διαρρήδην ἐκκαλύπτει, πάντων μὲν διὰ πείρας
ἐλθὼν ἀνήρ, θᾶττόν γε μὴν τῆς πλάνης ἀνανεύσας, ὡς
ἂν πρὸς τοῦ σωτηρίου λόγου καὶ διὰ τῆς εὐαγγελικῆς c
διδασκαλίας τῶν κακῶν λελυτρωμένος. Βραχέα δ' οὖν
καὶ τούτων ἐπάκουσον·

3 ΚΛΗΜΕΝΤΟΣ
Ἄδυτα τοίνυν ἄθεα μὴ πολυπραγμονεῖτε, μηδὲ βαράθρων
στόματα τερατείας ἔμπλεα, ἢ λέβητα Θεσπρώτειον, ἢ τρί- d
ποδα Κιρραῖον, ἢ Δωδωναῖον χαλκεῖον, γεράνδρυον δὲ ψάμ-
μοις ἐρήμαις τετιμημένον, καὶ τὸ αὐτόθι μαντεῖον αὐτῇ δρυῒ
2 μεμαρασμένον μύθοις γεγηρακόσι καταλείψατε. Σεσίγηται
γοῦν ἡ Κασταλίας πηγή, καὶ Κολοφῶνος ἄλλη πηγή, καὶ
τὰ ἄλλα ὁμοίως τέθνηκε τὰ μαντικὰ νάματα. Καὶ δὴ τοῦ
τύφου κενὰ ὀψὲ μὲν ὅμως δ' οὖν διελήλεγκται τοῖς ἰδίοις
3 συνεκρεύσαντα μύθοις. Διήγησαι ἡμῖν καὶ τῆς ἄλλης μαν-
τικῆς μᾶλλον δὲ μανικῆς τὰ ἄχρηστα χρηστήρια, τὸν Κλά-

b 9. ἀνήρ] ὁ ἀνήρ D. c 2. διδασκαλίας om. C.F.G. 3. δ' οὖν om. D. 8. Ἀπὸ τῶν Κλήμεντος τοῦ στρωματέως A. marg. Ἄδυτα] ἀδύνατα H. ἄθεα] ἀθέατα B.E. ἃ θέᾳ A. πολυπραγμονεῖτε] πολυπραγμονεῖται A. d 2. γεράνδρειον] γεράνδρυον A.B.C. Sed γεράνδρειον D. γεράρδρυον F. Mox ἐρήμης (αι) A. ἐρήμης H. ἐρήμοις B.C.D.F.G. ἐν ante ψάμμοις Vigeri margo. 3. καὶ τὸ—μεμαρασμένον om. H. 5. γοῦν] οὖν B.E. Tum καὶ om. A.B.C.E.F.G.H. 6. Κολόφωνος] Κολοφῶντος B.C.F.G. 7. τὰ μαντικὰ νάματα] ἅμα τὰ μαντικὰ A. νάματα τὰ μ. H. 11. χρηστήρια] μυστήρια B.C.D.F.G.

tatione, nudam omniumque spectandam oculis proponit, quippe qui cum omnes illorum ceremonias sua ipsius experientia cognoverit, tum celerrime ab infami errore caput extulerit, verbi salutaris et evangelicæ doctrinæ vi ex tot tantorumque malorum contagione liberatus. Hæc tu igitur paucis etiam accipe :

3 Clementis Alexandrini locus ex Protrept. [c. 2. p. 10.] de Mysteriis Græcor.
Nolite, inquit, scelerata impiaque adyta curiosius explorare, nec profundorum antrorum hiatus, præstigiis monstrisque plenos, aut Thesproteum lebetem, aut tripodem Cirrhæum, aut æneum Dodonæ tintinnabulum : gerandryon autem illud desertis olim in arenis cultum, quodque ibidem celebrabatur oraculum, jam vero cum ipsa quercu prorsus emarcuit, ran-
2 cidis ac vetustate contritis fabulis relinquite. Enimvero, siluit utique fons ille Castalius, siluit Colophonius alter, ac reliquæ simul omnes fatidicæ unde aruerunt, quas ventoso fastu sero licet, palam tamen aliquando spoliatas viderunt, posteaquam illæ suis cum fabellis omnino diffluxissent.
3 Decanta tu nobis, per me licet, reliqua vaticinationis aut furiosæ potius

ριον, τὸν Πύθιον, τὸν Διδυμέα, τὸν Ἀμφιάρεω, τὸν Ἀπόλ- ΚΛΗ-ΜΕΝ-ΤΟΣ
4 λω, τὸν Ἀμφίλοχον· εἰ δὲ βούλει καὶ τερατοσκόπους, καὶ
οἰωνοσκόπους, καὶ τοὺς ὀνείρων κριτὰς τοὺς ἀνιέρους σὺν αὐ- p. 62
τοῖς· στῆσον δὲ ὁμοῦ παρὰ τὸν Πύθιον ἄγων τοὺς ἀλευρο-
μάντεις, καὶ κριθομάντεις, καὶ τοὺς εἰσέτι παρὰ τοῖς πολλοῖς
τετιμημένους ἐγγαστριμύθους· ναὶ μὴν ἄδυτα Αἰγυπτίων καὶ
Τυρρηνῶν νεκυομαντεῖαι σκότει παραδεδόσθων· μανικὰ ταῦτα
ὡς ἀληθῶς ἀνθρώπων ἀπίστων σοφιστήρια, καὶ πλάνης ἀκρά-
5 του κυβευτήρια. Συνέμποροι τῆσδε τῆς γοητείας αἶγες αἱ b
ἐπὶ μαντικὴν ἠσκημέναι, καὶ κόρακες ἀνθρώποις χρᾶν ὑπ' ἀν-
θρώπων διδασκόμενοι.

6 Τί δ' εἴ σοι καταλέγοιμι τὰ μυστήρια; Οὐκ ἐξορχήσομαι
μὲν ὥσπερ Ἀλκιβιάδην λέγουσιν, ἀπογυμνώσω δὲ εὖ μάλα
ἀνὰ τὸν τῆς ἀληθείας λόγον τὴν γοητείαν τὴν ἐγκεκρυμμένην
αὐτοῖς, καὶ αὐτούς γε τοὺς καλουμένους ὑμῶν θεοὺς, ὧν αἱ
τελεταὶ μυστικαὶ, οἷον ἐπὶ σκηνῆς τοῦ βίου τοῖς ἀληθείας
7 ἐγκυκλήσω θεαταῖς. Διόνυσον μαινόλην ὀργιάζουσι Βάκχοι c

d ult. ἀμφιάρεων] ἀμφιάρεω A.C.D.F.G.H. et sic Clem.
p. 62. 1. καὶ οἰωνοσκόπους om. C. 2. τοὺς ἀνιέρους] τοὺς om. A.B.H. 3. στῆσον] στῆσαι F. τοὺς ἀλευρομ.] παρὰ τοὺς ἀλευρομ. A.H. Tum καὶ κριθομάντεις om. C.H. 7. τυρρήνων] τυράννων A.H. σκότει] σκότῳ B.D.F.G.S. παραδεδόσθων] παραδεδόσθωσαν A.H. b. ἐπὶ] αἱ ἐπὶ A.H. 2. ἀνθρώποις χρᾶν om. A.H. 3. τί δ' εἴ σοι] τί δή σοι H. 6. ἀνὰ τὸν] ἀνὰ om. A.H. Mox θεοὺς ὑμῶν H. et τελεταὶ καὶ αἱ μυστικαί. 8. καὶ αὐτούς γε τοὺς] καὶ αὐτοῖς τοῖς B.E. Tum καλουμένοις θεοῖς E. 9. θεοὺς] θεοῖς B. 10. τῆς ἀληθ.] τοῖς ἀληθ. A. ἐγκεκλήσθω] ἐγκυκλήσω A.H. Vigeri marg. Clem. ἐγκεκλήσω B.C.F.G. c. βάκχοις

vanitatis oracula, Clarium, Pythium, Didymea, Amphiaraum, Apollinem,
4 Amphilochum: adde si lubet prodigiorum interpretes, adde augures, profanosque somniorum conjectores. Quin age sis, ac simul eos coram Pythio statue qui divinationes suas farina hordeove perficiunt, quique a plurimis etiamnum observantur ventriloquos. Jam vero et Ægyptiorum penetralia, et manium apud Hetruscos vaticinationes in tenebris jaceant: vesanæ profecto illæ sunt infidelium hominum fallendi artes, et comparatæ
5 ad puram putamque fraudem quasi aleæ ac sortis officinæ. Ejusdem quoque fascinationis veluti negotiationis sociæ habeantur capræ ad divinandum informatæ, nec non corvi illi quos ad responsa reddenda homines
6 erudiere. Quid si ipsa quoque mysteria tibi enucleem? Non ea quidem temere vulgabo, ut Alcibiadem fecisse tradunt; sed tamen belle admodum quicquid sub iis præstigiarum latet, nudabo, quosque deos nuncupatis ac mysticis ritibus colitis, illos sic tanquam in aliqua hujus vitæ scena

ΚΛΗΜΕΝΤΟΣ

ὠμοφαγίᾳ τὴν ἱερομανίαν ἄγοντες, καὶ τελίσκουσι τὰς κρεανομίας τῶν φόνων, ἀνεστεμμένοι τοῖς ὄφεσιν· ἐπολολύζοντες Εὖαν Εὖαν ἐκείνην, δι' ἣν ἡ πλάνη παρηκολούθησε, καὶ ὁ θάνατος ἐπηκολούθησε· καὶ σημεῖον ὀργίων Βακχικῶν ὄφις ἐστὶ
8 τετελεσμένος. Αὐτίκα γοῦν κατὰ τὴν ἀκριβῆ τῶν Ἑβραίων
[40] φωνὴν τὸ ὄνομα τὸ Εὖα δασυνόμενον ἑρμηνεύεται ὄφις ἡ θήλεια. Δηὼ δὲ καὶ Κόρη δρᾶμα ἤδη ἐγενέσθην μυστικόν, d
καὶ τὴν πλάνην, καὶ τὴν ἁρπαγήν, καὶ τὸ πένθος αὐταῖν Ἐλευσὶς δᾳδουχεῖ.

9 Καί μοι δοκεῖ τὰ ὄργια καὶ τὰ μυστήρια δεῖν ἐτυμολογεῖν, τὰ μὲν ἀπὸ τῆς ὀργῆς τῆς Δηοῦς τῆς πρὸς Δία γεγενημένης, τὰ δὲ ἀπὸ τοῦ μύσους τοῦ συμβεβηκότος περὶ τὸν Διόνυσον· εἰ δὲ καὶ ἀπὸ Μυοῦντός τινος Ἀττικοῦ, ὃν ἐν κυνηγίᾳ διαφθαρῆναι Ἀπολλόδωρος λέγει, οὐ φθόνος ὑμῶν

ὠμοφαγίᾳ] βάκχοι ὠμοφαγίαν A.H. βάκχοι S. ἱερομανίαν] ἱερομηνίαν A.B.C.H. 2. ἄγοντες] ἀγόντων C. καὶ τελίσκουσι—τετελεσμένος om. B. τελίσκου C.F.G. τελέσκου E. 3. φόρων] φόνων A.F.G. φώνων D. 4. ἐπολολύζοντες] ἐπολολύζοντος H. εὖαν] εὖαν εὖαν A.H. εὔαν εὔαν F.G.S. 5. καὶ ὁ θάν. ἐπηκ. om. A.H. 6. ὀργείων] ὀργίων A. ὀργείων D. 9. εὖα] εὖαν H. 10. θήλεια] ἡ θ. A. ἐστιν ἡ H. d. ἐγενέσθην μυστικόν] γενέσθην μυθικὸν A. γενέσθην μ. H. μυστικήν C.D.F.G. 2. καὶ τὸ πένθος καὶ τὴν ἁρπ. H. ἐλευσὶς] ἐλευσὶς A. ἐλευσὶν H. Tum δαδοχεῖ C. 4. τὰ μὲν] μὲν τὰς μὲν F. τὰς μεν G. 7. περὶ τὸν] πρὸς H. 8. μυσοῦντος] μυοῦντος A.B.C. H.S. ἀπομυοῦντος τινὸς F.G. ὃν ἐν] ἐν τῇ A. 10. φθόνος] φθονοῦσι A. Tum δεδόξασται E.

7 inclusos veritatis ejusdem spectatorum oculis objiciam. Ac primum, ecce tibi homines furoris œstro perciti Bacchum mænolen solennibus orgiis celebrant, crudarum carnium helluatione sacram insaniam peragentes, cæsarumque victimarum partes dividunt, serpentibus coronati: Euamque illam vastis ululatibus inclamantes, per quam janua est non errori modo, sed ipsi quoque morti patefacta. Et sane, cum orgiorum Bacchicorum sit quasi quoddam insigne serpens arcano ritu consecratus,
8 tum vero si accurate vocem Hebraicam interpretari velis, Heua cum aspiratione graviori serpentem fœminam significat. Deinde Ceres et Proserpina in mysticum etiam fabulæ genus transiere, quarum errores et raptum et luctum nocturnis facibus Eleusis illustrat. Ac mihi quidem

Orgiorum et mysteriorum etymologia.

9 tanti est, propriam orgiorum et mysteriorum notationem excutere. Orgia sane ἀπὸ τῆς ὀργῆς, hoc est ab iracundia nomen accepere, qua Ceres adversus Jovem exarserat: mysteria vero ἀπὸ τοῦ μύσους, hoc est ab execrando scelere, quod circa Bacchum ipsum contigerat. Quod si vocem istam a Mysunte quodam Attico derivare placet, quem Apollodorus

ΚΛΗΜΕΝΤΟΣ

δεδοξάσθαι τὰ μυστήρια ἐπιτυμβίῳ [φωνῇ καὶ] τιμῇ.
10 Πάρεστι δὲ καὶ ἄλλως μυθάριά σοι νοεῖν, ἀντιστοιχούντων
τῶν γραμμάτων, τὰ μυστήρια. Θηρεύουσι γὰρ, εἰ καὶ ἄλλοι
τινὲς, ἀτὰρ δὴ καὶ οἱ μῦθοι οἱ τοιοίδε Θρᾳκῶν τοὺς βαρ-
βαρικωτάτους, Φρυγῶν τοὺς ἀνοητοτάτους, Ἑλλήνων τοὺς
11 δεισιδαίμονας. Ὄλοιτο οὖν ὁ τῆσδε ἄρξας τῆς ἀπάτης ἀν- p. 63
θρώποις· εἴτε ὁ Δάρδανος ὁ μύθους θεῶν καταδείξας τὰ
μυστήρια, εἴτε Ἠετίων ὁ τὰ Σαμοθρᾴκων ὄργια καὶ τελετὰς
ὑποστησάμενος, εἴτε ὁ Φρὺξ ἐκεῖνος ὁ Μίδας, ὁ παρὰ τοῦ
Ὀδρύσου μαθὼν, ἔπειτα διαδοὺς τοῖς ὑποτεταγμένοις ἔντεχνον
12 ἀπάτην. Οὐ γάρ με ὁ Κύπριος ὁ νησιώτης Κινύρας παρα-
πείσαι ποτ' ἂν, τὰ περὶ τὴν Ἀφροδίτην μαχλῶντα ὄργια
ἐκ νυκτὸς ἡμέρᾳ παραδοῦναι τολμήσας, φιλοτιμούμενος θει-
13 άσαι πόρνην πολίτιδα. Μελάμποδα δὲ τὸν Ἀμυθάωνος b

d 10. *μυστήρια*] *Ὅτι μυστήρια εἴτε ἀπὸ τοῦ μῦθος μυθάρια, ἢ ἀπὸ τοῦ θηράω καὶ μῦς τοὺς ἀνοήτους ἀνθρώπων εἴρηνται* A. in marg. 11. *φωνῇ καὶ* om. A. Clem. 12. *μυθήρια*] Ita Viger. cum Clem. et Etym. M. p. 595, 48. *μυθάρια* omnes MSS. cum Steph. Mox *ἀντιστοιχοῦντα* H. 14. *ἀτὰρ*] *ἀτὰρ δὴ* A.B.C.F.G. *ἀτὰρ δὲ* D. ult. *ἀνοητοτάτους*] *ἀνοήτους* C.F.

p. 63. 1. *ὄλλοιτο*] *ὄλοιτο* A.B.E.S. *τῆς ἀτοπίας ἀνὴρ ἀνθρώποις*] *τῆς ἀπάτης ἀνθρώποις* A.S. *ὁ τῆσδε τοῖς ἀνθρώποις ἄρξας ἀνήρ* E. *τοῖς ἀνθρώποις ἀπάτης* H. 2. *μύθους*] *μῦθον* B. *μητρὸς* Vigeri margo cum Clem. Alex. 3. *καταδιδάξας*] *καταδείξας* A.B.C.E.F.G.H. *Ἠετίων*] *ἠετίων τις* A.H. 6. *Ὀδρύδου*] *Ὀδρύσου* A.B.C.D.F.G.S. *ἰδρύσου* H. 8. *Κινύρας*] *κιννύρας* A. 11. *τολμήσας*] Desunt in A. ab h. l. usque ad p. 74. d. 11. 12. *θειάσαι*] *θηρᾶσαι* B. *θράσαι* C.F.G. Mox *μελάμπονα* C.

in venatione periisse testatur, equidem nihil hoc vobis invideam, ut
mysteria vestra sepulchrali cum nomine, tum etiam honore decorentur.
10 Quinimo liceat tibi mysteria quasi *μυθήρια*, hoc est venatica, mutua
duorum elementorum permutatione, accipere: venantur enim si quæ
aliæ, hujusmodi fabulæ, quotquot sive apud Thraces immanitate, sive
apud Phryges insania, sive apud Græcos superstitione principes memo-
11 rantur. At male pereat, quisquis tantæ vecordiæ hominum generi auctor
fuit, seu Dardanus qui matris deum mysteria docuit, seu Eetion, qui
Samothracum orgia cum eorum initiis protulit, seu Phryx ille Midas, qui
cum ab Odrydo callidam et artificii plenam fraudem accepisset, eam
12 postmodum in subditos suæ ditioni sparsit universos. Nec enim mihi
Cinyras ille Cyprius insularis unquam imposuerit, qui quum famosam
insulæ suæ meretricem deam efficere vehementer optaret, flagitiosa Veneris
13 orgia ex tenebris in lucem ausus est diemque producere. Jam alii Melam-

ΚΛΗ-
ΜΕΝ-
ΤΟΣ

ἄλλοι φασὶν ἐξ Αἰγύπτου μετακομίσαι τῇ Ἑλλάδι τὰς Δηοῦς ἑορτὰς, πένθος ὑμνούμενον. Τούτους ἔγωγ' ἂν ἀρχεκάκους φήσαιμι μύθων ἀθέων, καὶ δεισιδαιμονίας ὀλεθρίου πατέρας, σπέρμα κακίας καὶ φθορᾶς ἐγκαταφυτεύσαντας τῷ βίῳ τὰ μυστήρια.

14 Ἤδη δὲ, καὶ γὰρ καιρὸς, αὐτὰ ὑμῶν τὰ ὄργια ἐξελέγξω ἀπάτης καὶ τερατείας ἔμπλεα. Καὶ εἰ μεμύησθε, μᾶλλον ἐπιγελάσεσθε τοῖς μύθοις ὑμῶν τούτοις τοῖς τιμωμένοις. Ἀγορεύσω δὲ ἀναφανδὸν τὰ κεκρυμμένα, οὐκ αἰδούμενος λέ- c
15 γειν ἃ προσκυνεῖν οὐκ αἰσχύνεσθε. Ἡ μὲν οὖν ἀφρογενὴς καὶ κυπρογενὴς καὶ Κινύρᾳ φίλη, τὴν Ἀφροδίτην λέγω, τὴν

φιλομηδέα, ὅτι μηδέων ἐξεφαάνθη,

μηδέων ἐκείνων τῶν ἀποκεκομμένων Οὐρανοῦ, τῶν λάγνων, τῶν μετὰ τὴν τομὴν τὸ κῦμα βεβιασμένων, ὡς ἀσελγῶν ὑμῖν μορίων ἄξιος Ἀφροδίτη γίνεται καρπός· ἐν ταῖς τελε-

b 2. τὰς δηοῦς] τῆς δ. B.C.F.G. 3. ἔγωγ' ἂν] ἐγὼ γὰρ H.
θέ
4. ἀθέων] ἀρχαίων D. 5. σπέρμα—παστὸν ὑπέδυν p. 64. a 6. om. B. 8. ὄργια] ἔργα C.F.G. Supra ὑμνῶντα F.G. ἐξελέγξω] ἐξελέγξαι H. Mox ἐπιγελάσατε H. 9. τερατίας] τερατείας C. Vig. 10. τιμωμένοις] τοῖς τιμ. C.F.G. τοῖς μιμωμ. H. qui mox αἰδόμενος. 11. ἀγορεύσω] ἀγορεύω S. c 2. αἰσχύνεσθαι D.E. Tum ἀφρογενής τε S. et ἡ Κινύρα. Et sic F.G.H. 4. ἐξεφαάνθη] ἐξεφάνθη C. ἐξεφραάνθη E. 5. ἀποκεκομμ.] ἀποκεκρωμμ. H. 7. καὶ ἀσελγῶν] ὡς ἀσελγῶν F.G.H.S. Clem. Supra λαγόνων H.

podem Amythaonis filium, Cereris festa, luctum inquam, illum carminibus hymnisque decantari solitum, in Græciam ex Ægypto traduxisse volunt. Istos equidem impiarum fabularum, ac pestiferæ superstitionis parentes, malorum principes omnium fuisse merito dixerim, cum illa mysteria
14 scelerum ac mortis semina in hominum vitam intulerunt. At enim jam tempus est, ut orgia vestra fraudis ac præstigiarum plena esse demonstremus: vos, si modo initiati estis, risu ac sibilis vestras illas fabulas, quibus tantum venerationis tribuitur, præ cæteris excipietis. Ego vero abdita penitusque recondita palam in omnium luce collocabo, nec me pudor ab iis proferendis revocabit, quæ vos divinis honoribus colere non
15 pudeat. Vestra igitur illa, spumæ marinæ proles, Cyprique fœtus, ac Cinyræ delicium, Venerem intelligo, quam φιλομηδέα, hoc est veretri amantem, nominatis, quippe

Membris ex genitalibus ortam;

fœtus utique abscissis illis Cœli genitalibus, usque adeo salacibus, ut secta quoque undam ipsam constuprarint, nec non effusis in libidinem corporis

ταῖς ταύτης τῆς πελαγίας ἡδονῆς, τεκμήριον τῆς γονῆς, ἁλῶν ΚΛΗ-
χόνδρος, καὶ φαλλὸς τοῖς μυουμένοις τὴν τέχνην τὴν μοιχι- d ΜΕΝ-
κὴν ἐπιδίδοται· νόμισμα δὲ εἰσφέρουσιν αὐτῇ οἱ μυούμενοι ὡς ΤΟΣ
ἑταίρᾳ ἐρασταί.
16 Δηοῦς δὲ μυστήρια, καὶ Διὸς πρὸς μητέρα Δήμητραν
ἀφροδίσιοι συμπλοκαί, καὶ μῆνις, οὐκ οἶδ' ὅ τι φῶ λοιπόν,
μητρὸς ἢ γυναικός, τῆς Δηοῦς· ἧς δὴ χάριν Βριμὼ προσαγο-
ρευθῆναι λέγεται· ἱκετηρίαι Διός, καὶ πόμα χολῆς, καὶ καρ-
17 διουλκίαι, καὶ ἀρρητουργίαι· ταῦτα οἱ Φρύγες τελίσκουσιν
Ἄττιδι καὶ Κυβέλλῃ καὶ Κορύβασι. Τεθρυλήκασι δὲ ὡς
ἄρα ἀποσπάσας ὁ Ζεὺς τοῦ κριοῦ τοὺς διδύμους φέρων ἐν
μέσοις ἔρριψε τοῖς κόλποις τῆς Δηοῦς, τιμωρίαν ψευδῆ τῆς
18 βιαίας συμπλοκῆς ἐκτιννύων, ὡς ἑαυτὸν δῆθεν ἐκτεμών. Τὰ p. 64
σύμβολα τῆς μυήσεως ταύτης ἐκ περιουσίας παρατεθέντα
οἶδ' ὅτι κινήσει γέλωτα καὶ μὴ γελασείουσιν ὑμῖν διὰ τοὺς
ἐλέγχους. Ἐκ τυμπάνου ἔφαγον· ἐκ κυμβάλου ἔπιον· ἐκερ-
νοφόρησα· ὑπὸ τὸν παστὸν ὑπέδυν. Ταῦτα οὐχ ὕβρις τὰ
σύμβολα; οὐ χλεύη τὰ μυστήρια;

c 10. ἁλῶν] ἁλὸς C.F.G. d. εἰσφέρουσιν] φέρουσιν H. 2. ἑτέρᾳ] ἑταίρᾳ C. 3. δηοῦς δὲ] δηοῦς δὴ H. 4. ἀφροδίτοι] ἀφροδίσιοι C.H.S. exemp. Card. Stæ Crucis. Viger. 5. οὐκ οἶδ' ὅτι] οὐκέτι H. 14. ἐκτιννύων] ἐκτινύων H.
p. 64. 3. γελασείουσιν] γελάσουσιν H. 5. ἐκιρνοφ. D.F.G. 6. ὑπέδυν] ὑπέδυεν H.

vestri partibus longe dignissimus, Venus ista procreatur.* Itaque, in
arcanis voluptatis hujus marinæ sacris, grumus salis, effigiesque veretri,
tanquam fœturæ symbolum iis tradi solet, qui flagitiosi concubitus artibus
16 initiantur: hi vero numum ipsi tanquam amicæ amatores offerunt. Jam Mysteria
mysteria Cereris aliud nihil sunt, quam incestuosi Jovis cum Cerere matre quid? eo-
congressus, ejusdemque, matrisne ultra dicam, an uxoris? iracundia, quæ rumque
caussa fuit cur Brimo quasi fremens et indignabunda vocaretur; itemque symbola.
Jovis supplicationes, fellis haustus, cordis convulsiones, ac cæteræ id
17 genus infandæ ceremoniæ. Ac Phryges quidem ejusmodi sacra in Attidis,
Cybeles, et Corybantium honorem memoriamque faciunt: passim autem
fama vulgatum est, Jovem avulsos geminos Arietis testiculos in medium
Cereris sinum conjecisse, cum a se ipso exactam abscissionis quasi volun-
18 tariæ pœnam ob stuprum vi oblatum, hac fraude simularet. Cujus initia-
tionis egregia symbola soluto otiosoque animo producta risum vobis utique
moveant, tametsi opinor vobis ridere non libet, quod sic religionum vestra-
rum indignitas omnium in oculis defigatur, *Ex tympano comedi: bibi ex
cymbalo: cernum gestavi: me in thalamum clam insinuavi.* Non hæc
symbola probrum et infamiam sapiunt? non sanna ludibrioque digna

ΚΛΗΜΕΝΤΟΣ

19 Τί δ' εἰ καὶ τὰ ἐπίλοιπα προσθείην; Κύει μὲν ἡ Δημήτηρ,
ἀνατρέφεται δὲ ἡ κόρη, μίγνυται δ' αὖθις ὁ γεννήσας οὑτοσὶ
Ζεὺς τῇ Φερεφάττῃ τῇ ἰδίᾳ θυγατρὶ μετὰ τὴν μητέρα τὴν b
Δηῶ, ἐκλαθόμενος τοῦ προτέρου μύσους, καὶ μίγνυται δράκων
20 [41] γενόμενος, ὃς ἦν ἐλεγχθείς. Σαβαζίων γοῦν μυστηρίων
σύμβολον τοῖς μυουμένοις ὁ διὰ κόλπου θεός· δράκων δέ ἐστιν
οὗτος διολκούμενος τοῦ κόλπου τῶν τελουμένων, ἔλεγχος
ἀκρασίας Διός. Κύει καὶ ἡ Φερεφάττα παῖδα ταυρόμορφον.
21 Ἀμέλει φησί τις ποιητὴς εἰδωλικὸς,

ταῦρος δράκοντος, καὶ πατὴρ ταύρου δράκων,
ἐν ὄρει τὸ κρύφιον βουκόλος τὸ κέντρον· c

βουκολικὸν, οἶμαι, κέντρον τὸν νάρθηκα ἐπικαλῶν, ὃν δὴ
[κάλων] ἀναστρέφουσιν οἱ Βάκχοι.
22 Βούλει καὶ τὰ Φερεφάττης ἀνθολόγια διηγήσομαί σοι,
καὶ τὸν κάλαθον, καὶ τὴν ὑπὸ Ἀϊδωνέως ἁρπαγὴν, καὶ τὸ

8. *τί δὴ*] *τί δ' εἰ* B.C.D.F.G.H. a 10. *οὑτωσὶ*] *οὑτοσὶ* B.C.H. 11. *φερεφάττῃ*] *φερεσφάτῃ* C. et sic infra *φερεφίτῃ* D. *φερεστάτῃ* F. *φερεσφάττῃ* G. *ἰδίᾳ* ni fallor om. H. b. *δηῶ*] *τὴν δ.* B.C.F.G. *προτέρου μύσους*] *πρώτου μίσους* C. *πρώτου μ.* F.G. h. l. addit H. *πατὴρ καὶ φθορεὺς κόρης ὁ ζεύς.* 5. *θεὸς*] *θεῶν* H. *δὲ*] *δέ ἐστιν* C.F.G.H.S. Tum *διελκούμενος* S. *διελκόμενος* H. 7. *φερεφάττα*] *σφερέσφαττα* F.G. qui infra *φερεσφάττης.* 8. *φησί τις*] *φησὶ καὶ* H. 9. *ταῦρος πατὴρ*] *πατὴρ* om. H. c 3. *ἀναστρέφουσιν*] *ἀναστέφουσιν* C H. *ἀνεστέφυσιν* G. *κάλον—ἀναστέφ.* sic alt. S. *καὶ* H. pro *κάλων.* 5. *διηγήσωμαι*] *διηγήσομαι* B.C.D.H. *καὶ τὰ λόγια.* in marg. illius codicis id additum S. Hæc post *σοι* addit H. 6. *ὑπὸ Ἀϊδωνέως ἁρπαγὴν*] *ἁρπ. τὴν ὑπὸ Ἀϊδ.* C.F.G.H.

19 mysteria sunt? Quid porro si attexam reliqua? Ceres quidem fœtum
enititur, puella vero educatur: rursum ecce tibi castus Jupiter cum Pherephatta, quam ipse genuerat, post Cererem matrem, congreditur execrandi flagitii prioris oblitus; et congreditur Draconis forma tectus: sic tamen
20 ut qui sub ea latet, manifesto postmodum teneatur. Enimvero, Sabaziorum utique mysteriorum, iis qui sacris initiantur, symbolum est, deus sinum pervadens: deus autem iste draco est, qui per medium eorum quos solenni ritu initiant sinum trahitur, certum plane impotentis Jovis libidinis
21 argumentum. Parit etiam Pherephatta, sed filium taurina specie; nimirum, ut idolorum cultor poeta cecinit,

Taurus draconem genuit, et taurum draco.
In monte occultum bubulcus stimulum:

bubulci, opinor, stimulum scuticam nominans, quam lignis quibusdam
22 homines bacchico furore correpti circumagunt. Vin' tu hic etiam lectos a Proserpina flores tibi commemorem, ejusdemque calathum, et raptum a

ΚΛΗΜΕΝΤΟΣ

χάσμα τῆς γῆς, καὶ τὰς ὗς τὰς Εὐβουλέως τὰς συγκαταπο-
θείσας ταῖν θεαῖν, δι' ἣν αἰτίαν ἐν τοῖς Θεσμοφορίοις Μεγα-
23 ρίζοντες χοίρους ἐκβάλλουσι; Ταύτην τὴν μυθολογίαν ποι-
κίλως κατὰ πόλεις ἑορτάζουσιν αἱ γυναῖκες, Θεσμοφόρια, d
Σκιροφόρια, Ἀρρητοφόρια, πολυτρόπως τὴν Φερεφάττης
ἐκτραγῳδοῦσαι ἁρπαγήν. Τὰ γὰρ Διονύσου μυστήρια τέ-
λεον ἀπάνθρωπα, ὃν εἰσέτι παῖδα ὄντα ἐνόπλῳ κινήσει περι-
χορευόντων Κουρήτων, δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατή-
σαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπα-
σαν ἔτι νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς
φησιν ὁ Θρᾴκιος,

κῶνος, καὶ ῥόμβος, καὶ παίγνια καμπεσίγυια,
μῆλά τε χρύσεα, καλὰ, παρ' Ἑσπερίδων λιγυφώνων.

24 Καὶ τῆσδε ἡμῖν τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα οὐκ
ἀχρεῖον εἰς κατάγνωσιν παραθέσθαι· ἀστράγαλος, σφαῖρα, p. 65
25 στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος. Ἀθηνᾶ μὲν

c 6. χάσμα] σχίσμα S. 7. τὰς Εὐβ. D.H.S. pro τοῦ Εὐβ. 8. αἰτίαν ἐν τοῖς] ἐν τοῖς H. 9. τοῖς] ταῖς D. 10. ἐκβάλλουσι] ἐμβάλλουσι H.S. 11. πόλεις ἑ. αἱ γ.] πόλιν αἱ γ. ἑ. H. d. σκιρροφόρια] σκιροφ. B.F.G.H. σκηροφ. C. 2. ἐκτραγῳδοῦσιν] ἐκτραγῳδοῦσαι B.H.S. ἐκτραγῳδοῦνται E. 6. δόλῳ] δόλῳ δὲ H.S. δόλων E. 8. νηπίαχον ὄντα] νηπιάζοντα H. 9. ποιητὴς om. H. qui mox ὁ Θρᾴκιός φησιν. 11. καμπεσίγυια] καμπεσίγεια C.G. 13. χρύσεα] χρύσεια B.C.D.G. ult. ἀχρεῖα om. B.C.F.G. Supra ὑμῖν S. ἀχρεῖον] ἄχρηστον B.
p. 65. 2. ῥόμβος] ῥόμβιλος B. Mox οὖν om. D.

Plutone patratum, et terræ labem, et Eubulei sues quæ cum utraque dea
simul haustæ dicuntur? quod quidem in caussa est, cur in Thesmophoriis
23 Megarica lingua porcos ejiciant. Totam hanc fabellam variæ mulieres
singulis in urbibus solenni festo celebrant, Thesmophoria, Scirrhophoria,
Arrhetophoria: atque ita diversis plane tragicisque modis raptum Proserpinæ recolunt. Jam Bacchi mysteria omni diritate teterrima sunt, quippe quem, dum adhuc puerulus esset, ac circum ipsum Curetes armata saltatione agerentur, subeuntes dolo Titanes puerilibus crepundiis ludicrisque deceptum membratim discerpserant, quemadmodum Thracius Orpheus hujus sacri vates cecinit,

Turbo, trochus, tum queis in flexus membra cientur
Ludicra, et auricomi blandarum ex arbore fœtus
Hesperidum.

Mysteriorum symbola.

24 Neque vero inutile fuerit, arcani sacri symbola, inutilia licet, hoc loco
subjicere, ut omnium judicio sensibusque damnentur. Sunt hæc, talus,
25 pila, trochus, poma, turbo, speculum, vellus. Ac Minerva quidem, quod

ΚΛΗΜΕΝΤΟΣ

οὖν τὴν καρδίαν τοῦ Διονύσου ὑφελομένη Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη· οἱ δὲ Τιτᾶνες, οἱ καὶ διασπάσαντες αὐτὸν, λέβητά τινα τρίποδι ἐπιθέντες, καὶ τοῦ Διονύσου ἐμβαλόντες τὰ μέλη, καθήψουν πρότερον, ἔπειτα ὀβελίσκοις

ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο.

26 Ζεὺς δ' ὕστερον ἐπιφανεὶς—εἰ θεὸς ἦν, τάχα που τῆς κνίσης τῶν ὀπτωμένων κρεῶν μεταλαβὼν, ἧς δὴ τὸ γέρας λαχεῖν b ὁμολογοῦσιν ὑμῶν οἱ θεοὶ—κεραυνῷ τοὺς Τιτᾶνας αἰκίζεται, καὶ τὰ μέλη τοῦ Διονύσου Ἀπόλλωνι τῷ παιδὶ παρακατατίθεται καταθάψαι. Ὁ δὲ, οὐδὲ γὰρ ἠπείθησε Διὶ, εἰς τὸν Παρνασὸν φέρων κατατίθεται διεσπασμένον τὸν νεκρόν.

27 Εἰ θέλεις δ' ἐποπτεῦσαι καὶ τὰ Κορυβάντων ὄργια, τὸν τρίτον ἀδελφὸν ἀποκτείναντες οὗτοι τὴν κεφαλὴν τοῦ νεκροῦ φοινικίδι ἐπεκαλυψάτην, καὶ καταστέψαντες θαψάτην, φέροντες ἐπὶ χαλκῆς ἀσπίδος ὑπὸ τὰς ὑπωρείας τοῦ Ὀλύμπου.

a 3. ὑφελομένη] ἀφελομένη H. 5. οἱ καὶ] οἱ om. F.G. 6. ἐπιθέντες] ὑποθέντες (ἐ supra) D. Supra τρίποδα H. ἐμβαλόντες] ἐκβαλόντες C.G. ἐκβάλλ. G. βαλόντες E. ἐμβάλλοντες S. 7. καθήψων] καθήψουν H.S. 8. περιπείραντες] ἀμπείραντες H. 10. ὀπτωμένων] ὀπτομένων C.H. b. λαχεῖν H. post γέρας. Vulgo post θεοί. ὑμῶν] ὑμῖν D. 4. θάψαι] καταθάψαι H.S. 5. διεσπασμένον om. D. 6. τοῦτον τὸν] τοῦτον om. B.C.E.F.G.H. ἐθέλεις] εἰ θέλεις B.C.E.F.G.H. εἰ θέλῃς D. εἰ θέλεις δ' S. τὰ Κορυβ.] τὰ om. B.C.F.G.H. 7. ἀποκτείναντες] ἀπεκτονότες B.C.D.F.G. 9. ἐπεκαλυψάτην κ. κ. θ.] ἐπεκαλυψάτοιν καὶ καταστέψαντες θαψάτοιν C.F.G. καταστέψαντες D. 10. φέροντε] φέροντες B.C.D.F.G.H. Mox ἐπὶ τὰς D.

ejusdem Bacchi cor furtim sustulisset, Pallas ἐκ τοῦ πάλλειν τὴν καρδίαν, hoc est a cordis vibratione, seu palpitatione nuncupata fuit. Titanes vero, quorum manibus laniatus erat, ipsius membra in lebetem supposito tripodi insidentem conjecerunt, eaque prius elixa verubus postmodum infigentes,

Vulcano imposta tenebant.

26 At Jupiter, eo repente delapsus, (quippe enim, cum deus esset, eum, opinor, assarum carnium nidor afflaverat, quem dii vestri sic tanquam honorarium quoddam munus accipere sese confitentur,) fulmine Titanas conficit, et Bacchi membra Apollini filio sepelienda commendat: ille autem, nec enim parere Jovi renuit, discerptum lacerumque cadaver in

Corybantium orgia.

27 Parnasso monte deponit. Placetne Corybantium quoque orgia contemplemur? Nimirum, ex illis duo tertium fratrem cum occidissent, caput demortui purpurá contectum et corona cinctum ad Olympi montis radices,

28 quo illud æreo scuto impositum detulerant, sepeliere. Hæc illa sunt

ΚΛΗΜΕΝΤΟΣ

28 Καὶ ταῦτ' ἔστι τὰ μυστήρια, συνελόντι φάναι, φόνοι καὶ c τάφοι· οἱ δ' ἱερεῖς οἱ τῶνδε, οὓς ἀνακτοτελέστας οἷς μέλον καλοῦσι, προσεπιτερατεύονται τῇ συμφορᾷ, ὁλόριζον ἀπαγορεύοντες σέλινον ἐπὶ τραπέζης τιθέναι· οἴονται γὰρ δὴ ἐκ τοῦ αἵματος τοῦ ἀπορρυέντος τοῦ κορυβαντικοῦ τὸ σέλινον ἐκπεφυκέναι· ὥσπερ ἀμέλει καὶ αἱ θεσμοφοριάζουσαι τοὺς τῆς ῥοιᾶς κόκκους παραφυλάττουσιν ἐσθίειν· τοὺς γὰρ ἀποπεπτωκότας χαμαὶ ἐκ τῶν τοῦ Διονύσου αἵματος σταγόνων
29 βεβλαστηκέναι νομίζουσι τὰς ῥοιάς. Καβείρους δὲ τοὺς Κορύβαντας καλοῦντες, καὶ τελετὴν Καβειρικὴν καταγγέλ- d λουσιν. Αὐτὼ γὰρ δὴ τούτω τὼ ἀδελφοκτόνω τὴν κίστην ἀνελομένω, ἐν ᾗ τὸ τοῦ Διονύσου αἰδοῖον ἀπέκειτο, εἰς Τυρρηνίαν κατήγαγον, εὐκλεοῦς ἔμποροι φορτίου· κἀνταῦθα διετριβέτην φυγάδε ὄντε, τὴν πολυτίμητον εὐσεβείας διδασκαλίαν, αἰδοῖα καὶ κίστην θρησκεύειν παραθεμένω Τυρρηνοῖς· δι' ἣν αἰτίαν οὐκ ἀπεικότως τὸν Διόνυσον προσαγορεύεσθαί τινες Ἄττιν θέλουσιν, αἰδοίων ἐστερημένον.

b 11. καὶ ταῦτ' ἔστι—εἰσέτι νῦν p. 66 a 5. om. B. ἐπὶ pro ἐστι E. c 3. εἰς μέλλον] οἷς μέλον C. οἷς μέλλον καλεῖν H. 5. τραπέζῃ] τραπέζης H. 6. τὸ σέλινον] τὸ om. H. 8. τοὺς τῆς ῥοιᾶς] τῆς ῥ. τοὺς C.F.G.H. Mox ἐστίειν C. 9. ἀπεπ.] ἀποπεπ. H. 11. Καβείρους] Sic H. Viger. καμβείρους D.E.F.G. Steph. Mox καμβειρικὴν F.G. Steph. 12. καλοῦντες] καλοῦσι H. d. καταλέγουσιν] καταγγέλλουσιν S. καταγγέλουσιν H. 2. κίστην] κίστιν C.F.G et infra κύστην H. 3. τοῦ Διον. τὸ] τὸ τοῦ Δ. H. 4. ἀπέκειτο] ἐναπέκειτο C.F.G. 5. διατριβείτην] διατριβέτην C.F.G.S. διαφυγέτην H. 6. πολύτιμον] πολυτίμητον H.S. 7. παραθεμένῳ θρησκεύειν] θρησκεῖαν παραθ. H. 9. Ordinem verborum mutavi cum H. 10. αἰδοῖον εὐτερημένον H.

præclara mysteria, verbo, cædes ac sepulcra, quorum sacerdotes, *ἀνακτοτελέσται*, quasi reges sacrorum, ab iis quorum ejusmodi appellatio interest nuncupati, novis insuper monstris cædem istam exaggerant, appium cum tota radice ad mensam apponi omnino prohibentes, quod ex Corybantico illo sanguine, qui in terram effluxerat, appium germinasse arbitrentur: nempe, quemadmodum illæ Thesmophoriorum antistitæ a comedendis mali punici granis diligenter abstinent, quod ex iis cruoris Bacchici guttis, quæ
29 solum asperserant, mala punica extitisse opinentur. Cæterum, cum illi Corybantas istos Cabiros nominent, tum vero Cabiricum hujusmodi sacrum memorant. Quippe, duo enim isti fratricidæ, cistam illam secum auferentes, in qua Bacchi pudendum inclusum erat, in Thusciam detulere, mercis egregiæ mercatores, ubi cum exules agerent, luculenta admodum pietatis doctrina Hetruscorum animos informarunt, dum cistam iis ac veretrum nova religione colenda tradiderunt. Atque hanc nonnulli caus-

Cabirica sacra.

ΚΛΗΜΕΝΤΟΣ 30 Καὶ τί θαυμαστὸν, εἰ Τυρρηνοὶ οἱ βάρβαροι αἰσχροῖς
[42] οὕτω τελίσκονται παθήμασιν, ὅπου γε Ἀθηναίοις καὶ τῇ
ἄλλῃ Ἑλλάδι, αἰδοῦμαι καὶ λέγειν, αἰσχύνης ἔμπλεως ἡ περὶ
31 τὴν Δηῶ μυθολογία; Ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν p. 66
τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα—τῆς Ἀττικῆς
ἐστὶ τοῦτο τὸ χωρίον—ἀποκάμνει, καὶ φρέατι ἐπικαθίζει λυ-
πουμένη. Τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰσέτι καὶ νῦν,
ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην.
32 Ὤικουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα
αὐτοῖς Βαυβὼ, καὶ Δυσαύλης, καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔ-
μολπός τε καὶ Εὐβουλεύς· βουκόλος ὁ Τριπτόλεμος ἦν,
ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς· ἀφ' ὧν b
τὸ Εὐμολπιδῶν καὶ τὸ κηρύκων τὸ ἱεροφαντικὸν δήπου τὸ
33 Ἀθήνησι γένος ἤνθησε. Καὶ δὴ—οὐ γὰρ ἀνήσω μὴ οὐχὶ
εἰπεῖν—ξενίσασα ἡ Βαυβὼ τὴν Δηὼ, ὀρέγει κυκεῶνα αὐτῇ.
Τῆς δὲ ἀναινομένης λαβεῖν, καὶ πιεῖν οὐκ ἐθελούσης—πενθήρης

d 11. καὶ τί] καὶ τὸ C. 12. τελίσκονται] τελίσκουσι C.F.G.
p. 66. 3. χωρίον] τὸ χωρίον H. ἐπικαθίζει] ἐπικαθίζῃ D. 5. νῦν ὡς] καὶ νῦν ἵνα H. 7. ᾤκουν δὲ—γηγενεῖς] ἦσαν δὲ B. Ἐλευσῖνα] Ἐλεῦσιν D. γηγενεῖς] γηγενὴς H. 8. Δυσαύλης] δυσαύλις C.F.G.
b. δὴ τὸ] δὴ om. E.F.G.H. 2. τοῦτο] δὴ τοῦτο B.E. δήπου H. qui addit τὸ ἀθήνησι. 3. καὶ δὴ οὐδὲ γὰρ] οὐδὲ om. B. καὶ γὰρ οὐδὲ γὰρ C.D.F.G. καὶ δὴ οὐ γὰρ H. Tum ἀνήσω μ. ο. ε. om. B.

sam esse volunt, quæ sane verisimilitudine non caret, quamobrem Bac-
30 chum ipsum, Attin quasi exsectum nuncuparint. Quanquam, quid mirum Hetruscos, homines barbaros his flagitiorum probris initiari, cum ipsi quoque Athenienses ac reliqui Græciæ populi, quod me vel referre pudet, illam de Cerere fabulam usque adeo turpem indignamque retineant?
31 Enimvero, cum in vestiganda Proserpina filia, huc atque illuc errabunda Ceres vagaretur, circa Eleusinem, (Atticæ locus est) labore debilitata, constitit, ac puteo cuidam insedit ingenti mœrore confecta. Sed enim, iis qui initiantur, graviter ne quid simile agant, in hodiernum usque diem prohibetur; utique, ne sacris initiati lugentem Cererem imitari videantur.
32 Cæterum Eleusinem per id tempus indigenæ quidam incolebant, quorum hæc fuere nomina, Baubo, Dysaules, Triptolemus, Eumolpus et Eubuleus. Ac Triptolemus quidem bubulcus erat, Eumolpus pastor, Eubuleus vero subulcus, ex quibus Eumolpidarum, nec non illud præconum genus sacro-
33 rum ac religionum interpres, Athenis effloruit. Baubo igitur, (nec enim ab hujus etiam rei commemoratione revocari me patiar) cum hospitio Cererem excepisset, hauriendum ei cinnum propinat, qua propter vim

γὰρ ἦν—περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα, καὶ ἐπιδεικνύει τῇ θεῷ· ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηώ, καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι. c

ΚΛΗΜΕΝΤΟΣ

34 Ταῦτά ἐστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια, ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. Παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν' ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν·

Ὣς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξε δὲ πάντα
σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος,
χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις. d
Ἡ δ' ἐπεὶ οὖν μείδησε, θεὰ μείδησ' ἐνὶ θυμῷ,
δέξατο δ' αἰόλον ἄγγος ἐν ᾧ κυκεὼν ἐνέκειτο.

35 Κἄστι τὸ σύνθημα Ἐλευσινίων μυστηρίων· Ἐνήστευσα, ἔπιον τὸν κυκεῶνα, ἔλαβον ἐκ κίστης, ἐργασάμενος ἀπεθέμην εἰς κάλαθον, καὶ ἐκ καλάθου εἰς κίστην. Καλά γε τὰ θεάματα καὶ θεᾷ πρέποντα.

b 6. περιαλγὴς] περ. δὲ H. 8. ὑποδ.] ἐπιδ. H. qui mox δέχεται ποτέ. 9. τῇ θεῷ] τῷ θεῷ F. c 2. μυστήρια] μυστηρίων B.E. ταῦτά τοι] ταῦτά τε H. 3. δέ σοι] δὲ om. H. 4. ἔχοις] ἔχῃς E. Tum τῆς add. cum H. 6. δεῖξαι] δεῖξε B. 7. πάντα] τὰ πάντα F.G. 10. γελῶν] κν̄ B. ῥίπτασκε D.E.F.G. pro ῥίπτεσκε. Βαυβοῦς] Βαμβοῦς F. d 4. ἄγγος] ἄγκος C.F. Supra δὴ ὅλον pro δ' αἰόλον H. 7. κίστης] κίσθης B.E. et infra κίσθην ubi C.G. κίστιν. 8. ἐργασάμενος ἀπεθέμην εἰς κάλαθον] Juvenal. II. 54. *Vos lanam trahitis, calathisque peracta refertis Vellera.* 9. καὶ om. D.

doloris poculum potumque respuente, illa repulsam moleste ferens, quod se despectam ac spretam fuisse putaret scilicet, reductis vestibus occultas corporis partes divæ oculis objicit; quæ spectaculo delectata, oblatam
34 sibi potionem, ægre licet, aliquando tamen ebibit. Hæc Atheniensium recondita mysteria sunt, quæ scriptis Orpheus etiam ipse mandavit. Hujus ego tibi versus quoque subjiciam, ut quem tu mystagogum habes, eundem habeas flagitiosæ ac turpis infamiæ testem.

Dixerat, obscœnam Cereri tum veste reducta
Corporis ostentat speciem: puer adstat Iacchus;
Quem lætata manu medias Baubonis in ulnas
Conjicit: hinc olli arridens luctuque soluta,
Multiplicis commixta haurit dea pocula cinni.

35 Jam, Eleusiniorum mysteriorum communis quædam quasi tessera, hæc est, *Jejunavi: cinnum ebibi: accepi e cista: operatus in calathum reposui, ac rursum in cistam ex calatho.* Egregia vero spectacula, quæque deam

ΚΛΗΜΕΝΤΟΣ

36 Ἄξια μὲν οὖν νυκτὸς τὰ τελέσματα, καὶ πυρὸς, καὶ τοῦ
μεγαλήτορος μᾶλλον δὲ ματαιόφρονος Ἐρεχθειδῶν δήμου,
πρὸς δὲ καὶ τῶν ἄλλων Ἑλλήνων, οὕς τινας μένει τελευτή-
37 σαντας ἅσσα οὐδὲ ἔλπονται. Τίσι δὲ μαντεύεται Ἡρακλεῖ-
τος ὁ Ἐφέσιος; Νυκτιπόλοις, μάγοις, βάκχοις, λήναις, μύ-
σταις· τούτοις ἀπειλεῖ τὰ μετὰ θάνατον, τούτοις μαντεύεται
τὸ πῦρ· τὰ γὰρ νομιζόμενα κατ' ἀνθρώπους μυστήρια ἀνι- p. 67
38 ερωστὶ μυεῦνται. Νόμος οὖν καὶ ὑπόληψις κενὴ καὶ τοῦ
δράκοντος τὰ μυστήρια ἀπάτη τίς ἐστι θρησκευομένη τὰς
ἀμυήτους ὄντως μυήσεις καὶ τὰς ἀνοργιάστους τελετὰς εὐσε-
39 βείᾳ νόθῳ προτρεπομένων. Οἷαι δὲ καὶ αἱ κίσται αἱ
μυστικαί;—δεῖ γὰρ ἀπογυμνῶσαι τὰ ἅγια αὐτῶν, καὶ τὰ
ἄρρητα ἐξειπεῖν—οὐ σησάμαι ταῦτα, καὶ πυραμίδες, καὶ το-
λύπαι, καὶ πόπανα πολυόμφαλα, χόνδροι τε ἁλῶν; καὶ δρά-
κων ὄργιον Διονύσου Βασσάρου; οὐχὶ δὲ ῥοιαὶ, πρὸς τοῖσδε b
καὶ καρδίαι, νάρθηκές τε καὶ κιττοὶ, πρὸς δὲ καὶ φθόϊς, καὶ

d 11. μεγαλήτορος] μεγαλήτερος C. 12. Ἐρεχθειδῶν] Ἐρεχθήων B. 14. οὐδὲ] δὲ B. Supra τινα D. 15. Ἡράκλειος] Ἡράκλειτος B.C.F. G.H. Supra τισὶ δὴ H. ult. ἀπειλεῖ] ἀπειλὴ B.

p. 67. ἀνιερωστὶ] ἱερῶς τι H. μυεῦνται] μνεῦται B. μύονται H. Suspicor τὰ γὰρ—μυεῦνται Heracliti esse. 2. κοινῇ] κενὴ B.C.E.H. κενὰ F.G. Mox μυήσεις ὄντως H. 5. καὶ τὰς—προτρεπομένων om. B. 6. κίσται] κίσθαι B. Supra προστρεπ. S. 8. οὐ σησαμαὶ] οὐ σησαμέναι C. Supra ἀπόρρητα S. b 2. φθόϊς] φθόεις D.G. φθεῖς H. et μήκονες. Supra πρὸς τοῖς δὲ καὶ καρδία H.

36 in primis deceant: imo, digna sane tenebris ignique mysteria, digna ingentibus aut potius vanitate plenis Erechthidarum, cæterorumque Græcorum animis, quos quidem eæ post obitum pœnæ manent, a quibus spe et
37 cogitatione longissime absunt. Et vero, quibus tandem Heraclius ille Ephesius vaticinatur? tenebrionibus profecto, magis, bacchis, lenis, mystis. Hi sunt, quibus pœnas mortem secuturas comminatur, ignemque denunciat. Nam quæ hominum ex sensu mysteria statuuntur, ea profanos
38 habent initiandi ritus. Itaque, et statæ illæ sacrorum leges, et communis hominum opinio, et universa ista draconis mysteria, aliud nihil sunt quam error quidam initia quæ nihil plane initiorum habeant, superstitiose colens,
39 impioseque ritus adulterina pietatis specie venerans. Quæ porro et cujusmodi sunt mysticæ illæ cistæ? Nudandum enim quicquid apud eos sancti est, quidquid arcani evulgandum. Nonne hæc omnia, sesamæ pyramides, glomi, placentæ variis signatæ umbilicis, grana salis, et draco Dionysii Basari sacramentum? non mala punica? non medullæ arborum? non ferulæ cum hederis? non pastilli ex siligine caseoque confecti? non deni-

Cereris cistæ quales.

ΚΛΗΜΕΝΤΟΣ

40 μήκωνες; Ταῦτ' ἔστιν αὐτῶν τὰ ἅγια. Καὶ προσέτι τῆς
Θέμιδος τὰ ἄρρητα σύμβολα, ὀρίγανον, λύχνος, ξίφος, κτεὶς
γυναικεῖος, ὅς ἐστιν εὐφήμως καὶ μυστικῶς μόριον γυναικεῖον.
Ὦ τῆς ἐμφανοῦς ἀναισχυντίας· πάλαι μὲν ἀνθρώποις σω-
φρονοῦσιν ἐπικάλυμμα ἡδονῆς νὺξ ἦν σιωπωμένη, νυνὶ δὲ τοῖς
μυουμένοις ἡ ἱερὰ τῆς ἀκρασίας νὺξ ἐστι λαλουμένη, καὶ τὸ
41 πῦρ ἐλέγχει τὰ πάθη δᾳδουχούμενον. Ἀπόσβεσον, ὦ ἱερο-
φάντα, τὸ πῦρ· αἰδέσθητι δᾳδοῦχε τὰς λαμπάδας· ἐλέγχει c
σου τὸν Ἴακχον τὸ φῶς· ἐπίτρεψον ἀποκρύψαι τῇ νυκτὶ τὰ
μυστήρια· σκότει τετιμήσθω τὰ ὄργια. Τὸ πῦρ οὐχ ὑπο-
κρίνεται· ἐλέγχειν καὶ κολάζειν κελεύεται.

42 Ταῦτα τῶν ἀθέων τὰ μυστήρια. Ἀθέους δὲ εἰκότως ἀπο-
καλῶ τούτους, οἳ τὸν μὲν ὄντως ὄντα Θεὸν ἠγνοήκασι, παιδίον
[43] δὲ ὑπὸ Τιτάνων διασπώμενον, καὶ γύναιον πενθοῦν, καὶ μόρια
ἄρρητα ὡς ἀληθῶς ὑπὸ αἰσχύνης ἀναισχύντως σέβουσι, διττῇ d
ἐνισχημένοι τῇ ἀθεότητι· προτέρᾳ μέν, καθ' ἣν ἀγνοοῦσι τὸν
Θεόν, τὸν ὄντως ὄντα μὴ γνωρίζοντες Θεόν· ἑτέρᾳ δὲ καὶ
δευτέρᾳ ταύτῃ δὴ τῇ πλάνῃ τοὺς οὐκ ὄντας ὡς ὄντας νομί-

b 3. Θέμιδος] Θέμιτος H. 4. ὠρίγανον] ὀρίγανον B.E.H S. λύχνος] λύχνον H. 6. μυστικὸν] μυστικῶς B.C.F.G.H. ὡς τῆς] ὦ τῆς B.H. 8. νὺξ] νὺξ ἦν B.C.F.G.H. 11. δᾳδουχούμενα] δᾳδουχούμενον H. c 2. τῇ νυκτὶ] τῇ om. F.G. 7. ὑπὸ Τιτάνων] Τιτάνων ὑποδ. H. d 3. ὄντως ὄντα] ὄντα ὄντως H. 4. ταύτῃ δὴ] δὴ ταύτῃ H.

40 que papavera? Hæc sunt quæ sancta vocant. Quid? Themidis nonne
recondita symbola ista sunt? origanum, lychnus, gladius, pecten mulie-
bris, quod honestum ac mysticum est muliebris pudendi nomen. O
gnavam perfrictamque impudentiam! Hominum enim temperantiorum
voluptas noctis silentio tegebatur; nunc vero nox est, quæ initiandis
sacra libidinis enuntiat; adeoque ignis flagitia succensis facibus illus-
41 trata pandit. Extingue sis hunc ignem, hierophanta; tuque, O qui
lumen præfers, tuas ipse faces reverere: lumen istud Iacchum
traducit tuum: patere noctem mysteria tenebris occultare; orgiorum
honori consulatur: ignis simulare non potest: arguere, punireque jubet.
42 Hæc igitur illa sunt hominum atheorum mysteria. Jure enim atheos
dixerim, qui a veri numinis cognitione prorsus alieni, pusionem a Titanibus
discerptum, ejulantem mulierculam, partesque corporis quas pudor nomi-
nare non sinit, impudentissime venerentur: ut duplici nomine impietatis
ac negatæ divinitatis rei teneantur, altero, quod Deum ignorent, dum
nequaquam eum qui vere Deus est agnoscunt; altero, quod eos superesse,
qui non sunt, arbitrentur, ipsosque deos nuncupent, qui tantum a vera

ΚΛΗΜΕΝΤΟΣ ζοντες, καὶ θεοὺς τούτους ὀνομάζοντες τοὺς οὐκ ὄντως ὄντας, μᾶλλον δὲ οὐδὲ ὄντας, μόνου δὲ τοῦ ὀνόματος τετυχηκότας.

Τοσαῦτα καὶ οὗτος.

4 Εἰκότως δῆτα ἡμεῖς τούτων ἁπάντων ἐλευθέρους ἡμᾶς γενέσθαι ὁμολογοῦμεν, τῆς μακρᾶς καὶ πεπαλαιωμένης p. 68 πλάνης ὥσπερ τινὸς δεινῆς καὶ χαλεπωτάτης νόσου λελυτρωμένοι· καὶ πρῶτα μὲν τῇ τοῦ παντοκράτορος θεοῦ χάριτι καὶ εὐεργεσίᾳ, δεύτερον δὲ ἀπορρήτῳ δυνάμει τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας, καὶ τρίτον σώφρονι λογισμῷ κρίναντες ἀνόσιον εἶναι καὶ δυσσεβὲς τῇ τοῦ Θεοῦ σεβασμίᾳ προσηγορίᾳ τιμᾶν τοὺς πάλαι ἐν νεκροῖς κειμένους θνητοὺς ἄνδρας, καὶ οὐδὲ σωφρόνων ἀνδρῶν μνήμην ἀπολελοιπότας, ἐσχάτης b δὲ ἀκρασίας καὶ ἀκολασίας ὠμότητός τε καὶ φρενοβλαβείας δείγματα τοῖς μετ' αὐτοὺς φυλάττειν παραδεδω-

d 6. ὀνομάζοντες] ὀνομάζοντας H. 7. ὄντως ὄντας] ὄντας ὄντας B. ὄντας ὄντως H. μόνου δὲ] τῇ πλάνῃ δὲ μόνου H. 13. ἐλευθέρους—ὁμολογοῦμεν om. H. qui τῆς μὲν μακρᾶς.

p. 68. 1. πεπαλαιωμένης] πεπαλαιουμένης C. 3. καὶ πρῶτα] καὶ om. B.C.F.G.H. 7. καὶ om. D. 8. ἀσεβὲς] δυσσεβὲς B.F.G.H. δυσεβὲς C. Supra κρίνοντες F.G. κρίναντας H. σεβασμίᾳ] σεβασμίῳ H. qui infra σεβάσμιον. 11. ἀπολελειπότας] ἀπολελοιπότας B. ἀπολελοιπηκότας C.F.G. b 3. τε καὶ] καὶ om. F.G. Mox δείγματα τοὺς παρ' ἑαυτοῖς H.

divinitate absunt, ut ne supersint quidem, eamque sunt nomine solo tenus aliquando consequuti.

Huc usque Clemens.

4 Jure sane ac merito nos ab istis omnibus liberatos esse profitemur, quippe qui tam diuturni tamque inveterati erroris sic tanquam acerbissimi gravissimique morbi calamitatem depulimus: primum quidem singulari præpotentis Dei gratia et beneficio, deinde servatoris nostri evangelicæ doctrinæ vi quadam et potestate, quæ verbis explicari nequeat, sano denique maturoque consilio in eam adducti sententiam, ut augustum omnique dignum veneratione dei nomen obnoxiis morti hominibus impertiri, nefas et impium crederemus, qui cum pridem inter mortuos jaceant, tum vero temperantiæ documentum reliquerint nullum, sed omnis potius intemperantiæ, libidinis, crudelitatis ad animorum perniciem monimenta posteris conservanda crediderint.

2 κότας. Πῶς γὰρ οὐ πάντων ἠλιθιώτατον τοὺς σωφρο-
σύνης ἐραστὰς τοῖς αἰσχροῖς καὶ ἀκολάστοις τῶν πρω-
τείων παραχωρεῖν, καὶ τοὺς συνετοὺς καὶ ἔμφρονας τοῖς
τὰς φρένας ἀπολωλεκόσι τὴν σεβασμίαν παρέχειν τι-
μήν, τούς τε δικαιοσύνης καὶ φιλανθρωπίας ἀσκητὰς
τοῖς δι' ὑπερβολὴν ὠμότητος καὶ ἀπανθρωπίας τεκνο- c
κτονίας καὶ πατροκτονίας μιάσμασιν ἐνισχημένοις;
3 Ποίαν δὲ οὐχ ὑπερηκόντισεν ὑπερβολὴν ἀσεβείας τὸ
καταβάλλειν εἰς ἄρρητα ἀνδρῶν καὶ γυναικῶν μόρια καὶ
εἰς τὴν ἄλογον καὶ θηριώδη φύσιν τὴν σεμνὴν καὶ πα-
ναγίαν τοῦ θεοῦ πρόσρησιν, τοιαῦτά τε αἰσχρὰ καὶ
ἀπάνθρωπα θεολογεῖν, οἷα καὶ ἐπὶ τῶν ἐν ἀνθρώποις
κακουργῶν, εἰ κατελεγχθῇ, ταῖς ἀπὸ τῶν νόμων ἀπαραι-
4 τήτοις ὑποπέσοιεν ἂν τιμωρίαις; Καὶ τί χρὴ μηκύνειν
εὐαγγελιζομένους πάντα βάρβαρον ὁμοῦ καὶ Ἕλληνα d

b 5. ἠλιθιώτατον] ἠλιθιώτερον C. 8. ἀπολωλεκόσι] ἀπολελοκόσι D.H. ἀπολελωκόσι F.G. 11. καὶ om. F.G. c. καὶ πατροκτονίας om. H. qui mox ἐνεσχημένοις. 6. πρόρρησιν] πρόσρησιν B.F.G.H. τε αἰσχρὰ] τε om. H. 7. οἷα] οἷα καὶ B.C.F.G.H. 8. κακουργῶν] κακουργεῖν D. κακούργων H. Mox καταλεχθεῖν H. 9. ὑποπέσοιεν ἂν] ἂν om. C. ὑποπέσει D. 11. πάντας] πάντα B.C.F.G.H. Tum καὶ βάρβ. D. Mox ὁμοῦ om. C.

2 Enimvero, quis non extremæ stultitiæ futurum id videat, si homines
sanctimoniæ ac morum integritatis amantes, primas libidinosis flagi-
tiosisque concederent? si maturi atque sapientes, perditæ projectæque
mentis homines; si æquitatis humanitatisque studiosi, eos qui tantum
diritate cæteros et immanitate superarunt, ut sceleratas manus exe-
crandis liberorum parentumque cædibus cruentarint, augustissimo
3 cultu celebrarent? Cujus vero non cogitationem impietate vicerunt,
qui vel ad obscœnas, quasque ne honeste quidem nominare liceat,
virorum mulierumque partes, vel ad naturam bestiarum ratione
carentium adorandum illud atque sacrosanctum dei nomen abjecere?
quique ejusmodi flagitiorum immanitatisque monstra in theologiæ
suæ mysteriis tradidere, cujusmodi si quæ vel in facinorosissimis
hominibus deprehenderentur, pœnas continuo legibus constitutas
4 citra veniam omnem sustinerent? Quanquam, quid pluribus opus
est, ut universo hominum tam barbarorum, quam Græcorum generi

τὴν ἀπὸ τῶν εἰρημένων κακῶν ἐλευθερίαν, τῆς τε ἀπὸ τῶν ψευδωνύμων θεῶν ἀποστασίας, τὸ εὔλογον εἰς φῶς ἀγαγόντας, ὁπότε καὶ αὐτῶν ἤδη τῶν σφόδρα δεισιδαιμόνων οἱ πλείους, ὥσπερ ἐκ βαθέος κάρου διανήψαντες, καὶ τῆς παλαιᾶς ἀχλύος τὸ τῆς ψυχῆς ὄμμα διοίξαντες, τὸν βαθὺν λῆρον συνεῖδον τῆς πατρικῆς πλάνης· καὶ στάντες ἐπὶ λογισμοῦ τὴν ἑτέραν ὁδὸν εἵλοντο, τῆς παλαιᾶς ἀναχωρήσαντες; Ὧν οἱ μὲν ὁμόσε χωρήσαντες, τῆς ὅλης κατέπτυσαν μυθολογίας τῶν σφετέρων προγόνων πλατὺ καταγελάσαντες, οἱ δ' ἀθεότητος δόξαν ἐκκλίναντες, οὔτε ἐπὶ τοῖς πρότερον ἔστησαν, οὔτε ἐξ ἅπαντος αὐτῶν ἀνεχώρησαν, κολακεῦσαι δὲ καὶ θερα- p. 69 πεῦσαι τὴν οἰκείαν προθέμενοι δόξαν, τὰς περὶ τῶν τεθρυλημένων παρ' αὐτοῖς θεῶν ἱστορίας ἀληθεῖς μύθους

τ~

d 2. ἀπὸ τῶν] ἀπὸ om. C.F.G.H. αν B. τῆσδε τῶν ψευδον. E. 3. ἀγαγόντας] ἀναγαγόντας C.F.G. εὔβουλον E. pro εὔλογον. 5. ἐκ βαθέως] ἀπὸ βαθέος B. ἐκ βαθέος C. ἐκ βαθέους H. 6. διανήψαντες] ἀνανήψαντες B.H. 7. διοίξαντες] διανοίξαντες H. 8. τὸν βαθὺν— αὐτοῖς θεῶν om. B. 10. εἵλοντο] τῆς πλάνης εἵλοντο καὶ H. sic ni fallor, qui mox om. ὧν οἱ μ. ὁ. χωρ. 12. μυθολογίας] θεολογίας F. G.H.S. 14. οἱ δ'—οὔτε] οὐδ'—οὐδ' H. 15. πρότερον] προτέροις C.F.G.H.

p. 69. 2. τὰς περὶ] περὶ om. H. 3. ἀληθεῖς] om. B. ἀληθεῖς ἱστορίας H.

felicem tot tantorumque malorum liberationem prædicemus, caussasque nostræ a fictitiis numinibus defectionis justissimas in medium afferamus; cum eorum etiam, qui arctiore antea superstitione tenebantur, plurimi jam quasi ex alto diuturnæ crapulæ veterno ad animi sanitatem redeuntes, et in media antiquæ noctis caligine mentis oculos aperientes, profundam erroris patrii vesaniam agnoverint ipsi quoque, suique tandem ac rationis compotes, novam aliquando prisca relicta viam inierint? Et alii quidem velut hostibus obviam strenue prodeuntes, totam istam fabularum colluviem despuere, majores suos effuso quoque risu cachinnisque prosequuti: alii vero impietatis saltem ac spretæ divinitatis opinionem declinantes, nec eodem prorsus in vestigio constitere, nec ab eo tamen omnino discessere. Ergo cum sectam isti suam lenire quodammodo novisque artibus procurare statuissent, veras numinum suorum tamdiu

εἶναι πεπλασμένους ὑπὸ ποιητῶν ἐπεφήμισαν, φυσικὰς
6 ἐν αὐτοῖς ἀποκρύπτοντες θεωρίας. Ὧν, εἰ καὶ ὅτι μάλιστα μηδὲν φέρουσιν ἀληθείας δεῖγμα, ὅμως δ' οὖν ἀναγκαία γένοιτ' ἂν ἡμῖν ἡ ἔκθεσις εἰς θεωρίαν τῶν καὶ παρὰ τούτοις σεμνῶν· ὡς ἂν καὶ τῆς τούτων ἀναχωρήσεως, οὐκ ἄλλως ἡμῖν προξενηθείσης ἢ διὰ τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας, τὸ εὔλογον παρασταίη. Φέρε οὖν καὶ τούτων τὸν λόγον ἄνωθεν b
ἀναλαβόντες ἐπισκεψώμεθα.

[44]
5 Τῆς μὲν οὖν Ἑλληνικῆς θεολογίας, λέγω δὲ τῆς πανδήμου καὶ μυθικωτέρας καὶ πολὺ πρότερον τῆς παρὰ Φοίνιξι καὶ Αἰγυπτίοις τοῖς τε ἄλλοις, ὧν τὴν μνήμην οἱ πρὸ τούτου περιέσχον λόγοι, τοιόσδε τίς ὁ c
τρόπος ἀποδέδεικται, οἷος διὰ τῶν προεκτεθεισῶν φωνῶν αὐτῶν δὴ τῶν Ἑλληνικῶν συγγραφέων προδεδη-

a 4. ἐπεφήμησαν] ἐπευφήμησαν B. ἐπευφημησῶν F.G. ἐπεφήμισαν H. et sic Rhoër. ad Porphyr. p. 10. Vid. infra p. 70 D. 74 B. 7. δεῖγμα] δόγμα H. 8. εἰς θεωρ.] εἰς om. H. 10. οὐκ ἄλλως] καλῶς H. 11. ἢ εἰ] εἰ om. H. b 5. λέγω δὴ] λέγω δὲ B.C.F.G. Tum τοῦ π. C.F.G. et mox μυθικωτέρου. 6. προτέρας] πρότερον B.C.F.G.H. Tum τοῖς H. pro τῆς. 7. καὶ τὴν] καὶ om. B.C.D.F.G.H. c. τούτου] τούτων C.F.G. Mox om. ὁ τρόπος C. 3. προεκτεθεισῶν] προτελεσθεισῶν D. πρὸ ἐκτεθέντων H.

jactatorum historias, figmenta quædam et commenta poetarum ominis caussa melioris esse dixerunt, quibus rationes caussæque rerum
6 naturalium inclusæ latitarent. Quarum licet nullum omnino veritatis indicium proferre possint, nos tamen pretium operæ facturos arbitramur, si quæcunque apud eos honestiorem quandam præ se ferant speciem, in apertum lucemque producamus, ut summam hujus præterea, quam ab iis, (non alia sane quam evangelica servatoris nostri doctrina informati adductique,) faciendam nobis putavimus, discessionis æquitatem oculis omnes tenere possint. Age itaque, rem totam altius repetentes propius contemplemur.

5 Græcorum igitur vulgatam illam pluribusque contextam fabulis theologiam, quæque præterea vel Phœnicum, vel Ægyptiorum, ac cæterorum quorum ante mentionem fecimus, propria fuit, Græca ista longe vetustiorem, ad eum sese modum habuisse constat, quem productis superius ipsissimis Græcorum auctorum verbis repræsenta-

λωται· ὃν καὶ εἰκότως ἐν ἀρχαῖς τῆς προκειμένης Εὐαγ-
γελικῆς Προπαρασκευῆς εἰς διάγνωσίν τε καὶ ἐπίκρισιν
τοῖς ἐντευξομένοις προτεθείκαμεν, ὡς ἂν αὐτοὶ μάθοιμεν
ἡμεῖς τε αὐτοὶ, καὶ οἱ τῶνδε εἰς ἔτι νῦν ἄπειροι, τίνες
ὄντες πάλαι πρότερον, καὶ οἵων ἐκ πατέρων φύντες, d
πηλίκοις τε τὸ πρὶν κακοῖς πεπεδημένοι, δυσσεβείας τε
ὁπόσῃ καὶ ἀγνωσίας Θεοῦ μέθῃ τὰς ψυχὰς κατορωρυγ-
μένοι, τῆς τούτων ἁπάντων ἀνανεύσεως καὶ ἐλευθερίας
ἠξιώθημεν διὰ μιᾶς μόνης τῆς εὐαγγελικῆς διδασκαλίας,
οὐκ ἄλλως ἡμῖν πρυτανευθείσης ἢ δι' ἐπιφανείας τοῦ
2 σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ· ὃς οὐ μέρει
γῆς, οὐδ' ἐν γωνίᾳ χώρας ἔθνους ἑνὸς, καθ' ὅλης δὲ τῆς
[ἀνθρώπων] οἰκουμένης, ἐν ᾗ τὰ τῆς μάλιστα δεισι-
δαίμονος πλάνης ὑπερίσχυσεν, οἷά τις νοερῶν καὶ λογι-
κῶν ψυχῶν ἥλιος, τὰς τοῦ οἰκείου φωτὸς ἐφαπλώσας

c 4. ὃν καὶ] ὧν καὶ H. 6. διάγνωσιν—ἐπίκρισιν] διάκρισιν—ἐπίγνωσιν H. 7. προτεθείκαμεν] προτεθήκαμεν D. 8. αὐτοὶ om. C.D. F.G.H. ἡμεῖς δὲ] ἡμεῖς τε B.C.D.F.G.H. Vigeri marg. 9. καὶ νῦν] καὶ om. B.C.E.F.G.H. 10. πρότερον] πρύτεροι D. οἵων] οἷον H. 11. πεπεδημένοι] πεπαιδευμένοι B. πεπαιδημένοι E. d. πηλίκοις] ὁπηλίκοις H. 3. κατωρωρ.] κατορωρ. C.H. 4. ἁπάντων] ἁπάντων ἀθρόως H. 5. τῆς om. D. 10. ἀνθρώπων om. B.C.F.G. Supra καθόλου H. qui mox ἐν ᾗ τὰ τῆς μάλιστα δ. pro καθ' ἧς μάλιστα τὰ δ.

vimus. Atque id mihi quidem Evangelicæ Præparationis, quæ hoc opere instituitur, initio commode posuisse videor, iis qui in ipsius lectione versabuntur, excutiendum judicioque suo ponderandum, ut cæteri nobiscum omnes, quos adhuc rerum istarum cognitio latuit, intelligant, quales tandem a multis retro seculis, quibusque nati parentibus, quantis implicati malis, quanta demum impietatis ac divini numinis ignoratione, tanquam alta quadam crapula obruti, tollere oculos aliquando, tamque funesta servitute liberari unius evangelicæ doctrinæ vi beneficioque potuerimus, quam profecto non alia ratione sumus, quam Jesu Christi Servatoris Deique nostri ad-
2 ventu consequuti. Hic enim ille est, qui non parte aliqua terrarum, aut gentis unius angulo regionis includens, sed toto passim orbe, ubi ubi degerent homines, quaque potissimum grassabatur erroris superstitiosi dominatus, veluti sol quidam intelligentium ac ratione prædi-

Christi doctrina quas tenebras depulerit.

ἀκτῖνας, ὁμοῦ πᾶν γένος ἀνθρώπων, βαρβάρων τε καὶ
Ἑλλήνων, ὥσπερ ἐξ ἀχλύος δεινῆς καὶ ζοφερωτάτης τε p. 70
καὶ ἀειδοῦς νυκτὸς τῆς δεισιδαίμονος πλάνης ἐπὶ λαμ-
πρὰν καὶ διαυγεστάτην ἡμέραν τῆς ἀληθοῦς εὐσεβείας
τοῦ παμβασιλέως Θεοῦ πάντας ἡμᾶς μετεστήσατο.
3 Διαρρήδην γοῦν αἱ προπαρατεθεῖσαι φωναὶ νεκρῶν
εἴδωλα καὶ ἀνδρῶν πάλαι κατοιχομένων εἰκόνας πάντας
πανδημεὶ τοὺς ἀμφὶ τὴν πολύθεον πλάνην κατά τε πό-
λεις καὶ κώμας ἐπτοημένους θεραπεύειν τε καὶ περιέπειν
ἐδίδαξαν· τῶν πάλαι ἀνδρῶν δι' ὑπερβάλλουσαν τοῦ b
τότε βίου θηριωδίαν Θεοῦ μὲν τοῦ πάντων δημιουργοῦ
μηδένα λόγον ποιουμένων, μηδὲ τῆς θείας καὶ ἐπὶ τοῖς
πλημμελουμένοις τιμωροῦ δίκης ἐμπαζομένων, εἰς πά-
4 σας δὲ ἀνοσιουργίας καταβαλλόντων. Οὔπω γὰρ εἰσέτι
τότε νόμων καθ' οὓς χρὴ βιοῦν συνεστώτων, οὐδέ γε
τῆς ἡμέρου πολιτείας ἐν ἀνθρώποις κατατεταγμένης,

p. 70. 1. καὶ ζοφ.] καὶ om. H. 3. λαμπρὰν καὶ] καὶ om. F. 5. μετεστήσατο] συνεστήσατο B. γοῦν] νῦν F. οὖν H. 11. τῶν πάλαι] πάντων πάλαι H. b 3. τῆς πλημμελουμένης] τοῖς πλημμελουμένοις B.C.F.G.H.S.V. et suprasc. D. 4. ἐμπαιζομένων F.G. 5. καταβαλλόντων] καταβαινόντων Toupius. 6. οὔπω] οὐ D. νόμων τότε] τοτε νόμων F.G.H. 7. ἡμέρου] ἡμετέρου H.

torum animorum, luminis sui radios longe lateque diffundens, universum hominum barbarorum simul Græcorumque genus, adeoque nos omnes densissima caligine ac teterrima, omnemque lucem excludente mendacis vanæque superstitionis nocte, in veræ erga rerum omnium
3 moderatorem Deum pietatis diem vindicavit. Enimvero, quotquot ubique olim ad stuporem usque profanis de deorum multitudine erroribus tam in urbibus, quam in pagis adhæserunt, eosdem mortuorum idola, hominumque pridem extinctorum simulachra statis omnes honoribus coluisse, clarissimis laudatorum ante scriptorum testimoniis ac vocibus comprobatur: ita plane, ut priscum illud hominum genus, propter ferinam supra modum eo tempore vivendi rationem, de summo rerum omnium opifice Deo nihil omnino cogitaret, nec divinam ejus in repetendis scelerum pœnis justitiam ullatenus vereretur, sed in omnia flagitiorum et impietatis genera præcipiti quodam
4 æstu raperetur. Nam, cum nullis adhuc hominum vita legibus ad virtutem informata, nullo mitiore ac politiore cultu temperata, solute

ἀνειμένου δὲ καὶ νομαδικοῦ τοῦ βίου θηριώδους τε καθεστῶτος, τοῖς μὲν θρεμμάτων ἀλόγων δίκην τῶν τῆς γαστρὸς ἀποπληρώσεων πλέον οὐδὲν ἔμελεν, οἷς καὶ πρῶτος ἀθεότητος ὑποικουρεῖ τρόπος· οἱ δ' εἰς βραχύ τι c φυσικαῖς ἐννοίαις ἀνακινούμενοι Θεὸν καὶ Θεοῦ δύναμιν σωτήριόν τι καὶ ἀγαθὸν εἶναι χρῆμα διενοήθησαν, εὑρεῖν δὲ τοῦτον ἐθελήσαντες ἄνω μὲν τὰς ψυχὰς εἰς οὐρανὸν ἔτειναν, αὐτόθι δὲ τῇ διανοίᾳ στάντες, καὶ τῶν κατ' οὐρανὸν φαινόντων τε καὶ φαινομένων φωστήρων καταπλαγέντες τὰ κάλλη, ταῦτ' εἶναι θεοὺς ἀπεφήναντο.

5 Τρίτοι δὲ ἄλλοι σφᾶς αὐτοὺς ἐπὶ γῆς ῥίψαντες, τοὺς ἐπὶ συνέσει τῶν κατ' αὐτοὺς προφέρειν νενομισμένους, ἢ καὶ ῥώμῃ σώματος καὶ δυναστείας ἰσχύϊ τῶν πλειόνων d ἐπικρατήσαντας, γίγαντάς τινας, ἢ τυράννους, ἢ καὶ γόητας καὶ φαρμακέας ἄνδρας, ἔκ τινος τῶν θειοτέρων ἀποπτώσεως τὰς κακοτέχνους γοητείας συνεσκευασμέ-

b 9. θηριώδους] θηριώδου D. Supra ἀνειμένους καὶ H. 11. ἀποπληρώσεων] πληρώσεων B. ἀποπληρῶν C.F.G. ἀποπληρώσεος H. 12. πρῶτος] πρῶτος οὗτος H. qui pergit, ἀθεότητος ἐπικουρίοναις ἀνακείμενοι θεὸν etc. c 3. τι καὶ] τι om. C. 4. ἐθελήσ.] θελήσ. H. 6. στάντες] ἱστάντες H. 9. τρίτοι δὲ] τρίτοι γὰρ D. d. ἰσχύϊ] ἰσχύει C. Mox ἐπικρατήσαντες C.D.G. ἐπικρατήσαντι F. 3. ἢ καὶ] ἢ om. C. 4. θειοτέρων] θειοτάτων B. θείων H.

ac vage, nomadum aut belluarum potius ritu ageretur: aliis quidem pecudum instar ratione carentium, præter abdominis saturitatem pensi nihil erat, quorum in animos primum impietatis genus altius subire solet: alii vero, inditis a natura notionibus tantillum excitati, Deum quidem ac Dei potestatem salutaris ac boni quidpiam esse cogitabant; sed cum ad ejus cognitionem aspirarent, sublatis et erectis in cœlum animis, vim in eo mentis aciemque defixere, astrorumque toto cælo micantium sensusque ferientium pulchritudinem
5 admirati, deorum iis nomen honoremque tribuere. Alii denique in terram sese animosque devolventes, quos ætate sua communi consensu aut sapientiæ primas tulisse viderent, aut corporis viribus, ac potestatis magnitudine pluribus esse dominatos, gigantas puta, vel tyrannos, vel præstigiis etiam fascinationibusque nobiles, qui cum a rebus divinioribus quomodocunque tandem excidissent, maleficas veneficiorum

νους, ἢ καὶ τοὺς ἄλλους κοινῆς τινὸς καὶ βιωφελοῦς εὐεργεσίας προάρξαντας, ζῶντάς τε ἔτι καὶ μετὰ τελευ-
6 τὴν θεοὺς ἐπεφήμισαν. Ἔνθεν αὐτοῖς καὶ οἱ τῶν θεῶν οἶκοι νεκρῶν εἶναι τάφοι μνημονεύονται, ὡς ὁ Κλήμης ἐν τῷ πρὸς Ἕλληνας Προτρεπτικῷ ἱστορεῖ, τοῦ λόγου
[45] μάρτυρας αὐτοὺς Ἕλληνας ἐπαγόμενος. Εἰ δέ σοι φίλον, αὖθις καὶ τούτου τόνδε γράφοντος ἄκουε τὸν τρόπον·

6 Εἰκότως ἄρα ἀρχήν ποθεν ἡ δεισιδαιμονία λαβοῦσα, κα- p. 71
κίας ἀνοήτου γέγονε πηγή· ἔπειτα μὴ ἀνακοπεῖσα, ἀλλ' εἰς ΚΛΗΜΕΝΤΟΣ
ἐπίδοσιν ἐλθοῦσα (καὶ) πολλὴ δὴ ῥυεῖσα, δημιουργὸς πολ- b
λῶν καθίσταται δαιμόνων, ἑκατόμβας ποιοῦσα, καὶ πανηγύρεις ἐπιτελοῦσα, καὶ ἀγάλματα ἀνιστᾶσα, καὶ νεὼς ἀνοικοδομοῦσα· οὓς δὴ—οὐδὲ γὰρ τοῦτο σιωπήσομαι, πρὸς δὲ καὶ αὐτὸ ἐλέγξω—νεὼς μὲν εὐφήμως ὀνομαζομένους, τάφους δὲ γενομένους, τουτέστι τοὺς τάφους νεὼς ἐπικεκλημένους.

d 5. καὶ τοὺς] καὶ om. C.D.F.G. 6. κοινῆς τε] καινῆς H. 7. ζῶντάς τε] τε om. C.F.G. ἔτι καὶ μετὰ] καὶ μετὰ τὴν H. 8. ἔνθεν] ἔνθα C.G. ἐπευφήμισαν supra G. 11. ἱστορεῖ] ἱστορειῶν F. Προτρεπτικῷ—Ἕλληνας om. H. qui mox εἰ δή. 13. φίλον] κατὰ φίλον H. qui mox om. καί.
p. 71. 6. γέγονε om. F. 7. πολὺ] πολλὴ C.F.G.H. καὶ πολλὴ Clem. b 3. ἀγάλματα] καὶ ἀγ. C.D.E.F.G.H. Mox ἀνιστᾶσα H. cum Clem. pro ἀνιστῶσα. 5. αὐτὸ] αὐτοὺς H.

artes conflaverant: quicunque demum communis alicujus beneficii atque ad vitæ humanæ utilitatem pertinentis auctores fuissent, partim vivos adhuc et spirantes, partim jam morte functos pro diis prædica-
6 runt. Itaque deorum ipsorum ædes, mortuorum sepulcra esse perhibentur, quemadmodum Clemens in ea quam ad Græcos scribit cohortatione commemorat, Græcorum ipsorum testimonia proferens, quem tu, si placet, hunc in modum rursus loquentem audi.

6 Mirum, inquit, profecto videri non debet, si nefandæ superstitionis error, posteaquam aliquod semel initium accepisset, flagitiosæ vesaniæ fons extiterit. Enimvero cum intercisus ille postea non fuisset, sed potius novis in dies incrementis auctus, magna vi tandem ac vehementi cursu ferri cœpit. Mox itaque multiplicium dæmonum architectus efficitur, hecatombas sacrificat, solennes conventus instituit, erigit simulachra, templa ædificat; sed quæ, (nec enim id quoque dissimulabo, sed potius manifeste coarguam) honesto quidem templorum nomine celebrantur, Clem. Al. Protrept. c. 3. p. 39, 1.

ΚΛΗΜΕΝΤΟΣ

Ὑμεῖς δὲ ἀλλὰ κἂν νῦν δεισιδαιμονίας ἐκλάθεσθε, τοὺς τάφους
τιμᾶν αἰσχυνόμενοι.
2 Ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς ἐν Λαρίσσῃ, ἐν τῇ ἀκροπόλει,
τάφος ἐστὶν Ἀκρισίου, Ἀθήνησι δὲ ἐν τῇ ἀκροπόλει, Κέ- c
κροπος, ὥς φησιν Ἀντίοχος ἐν τῷ ἐνάτῳ τῶν ἱστοριῶν.
3 Τί δὲ Ἐριχθόνιος; οὐχὶ ἐν τῷ ναῷ τῆς Πολιάδος κεκήδευ-
ται; Ἴσμαρος δὲ ὁ Εὐμόλπου καὶ Δαείρας οὐχὶ ἐν τῷ περι-
βόλῳ κεκήδευται τοῦ Ἐλευσινίου, τοῦ ὑπὸ τῇ ἀκροπόλει; αἱ
4 δὲ Κελεοῦ θυγατέρες ἐν Ἐλευσῖνι τετάφαται; Τί σοι κατα-
λέγω τὰς ἐξ Ὑπερβορέων γυναῖκας; Ὑπερόχη καὶ Λαοδίκη
κεκλῆσθον, ἐν τῷ Ἀρτεμισίῳ ἐν Δήλῳ κεκήδευσθον· τὸ δὲ ἐν
5 τῷ Ἀπόλλωνος τοῦ Δηλίου ἐστὶν ἱερῷ. Λέανδρος δὲ Κλε- d
όμαχον ἐν Μιλήτῳ τετάφθαι ἐν τῷ Διδυμαίῳ φησίν. Ἐν-
ταῦθα τῆς Λευκοφρύνης τὸ μνῆμα οὐκ ἄξιον παρελθεῖν,
ἑπομένους Ζήνωνι τῷ Μυνδίῳ, ἣ ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος
ἐν Μαγνησίᾳ κεκήδευται, οὐδὲ μὴν τὸν ἐν τῷ Τελμησσῷ τοῦ

b 8. ὑμεῖς] ἡμεῖς F.G. c 2. ἐννάτῳ] ἐνάτῳ B. Θ'.C.F.G. Supra Ἀντίμαχος H. pro Ἀντίοχος. 3. τῆς ἱστορίας D. 5. Εὐμ.] ὁ Εὐμ. D.F.G.H. Supra Ἴμμαρος H. qui infra om. κεκήδευται. 8. τετάφατε] τετάφαται B.C.F.G. τίσι] τίσοι C.D.H. τί σοι κ. Scaliger. F.G. Mox ὑπερβορέων H. ὑπερβορίου vulg. 10. κεκλῆσθον] κεκλήσθων B.C.D.E. 11. κεκήδευσθον] κεκήδευθον C. d. Λέανδρος] Κλέανδρος D. λέαρδυξ F.G. 2. Κλεόμαχον] Κλέαρχον H. μιλήτῳ] μηλίῳ C.F.G. 3. Διδυμαίῳ] Διδυμίῳ D. διδύμῳ F.G. λευκοφρύνης] λευκοφρένης B. 4. μνῆμα] μνημεῖον H. 5. ἑπομένη] ἑπομένους C.D.F.G.H. μυδίῳ] μενδίῳ C.F.G. Μυνδίῳ ἣ H. ἣ ex Clemente add. 7. τελμισῷ] τελμησῷ B. ut Steph. F.G. τῶν τοῦ Ἀπ. ἐν Τελμησσῷ β. οὐ μ. H.

Diversorum deorum sepulchra eadem quæ templa.

cæterum aliud nihil fuere quam sepulcra, quibus deinceps hanc templo-
rum appellationem indidere. Vos ergo, nunc saltem impiam superstitio-
2 nem dediscite, vel hac tumulorum cultus indignitate revocati. Larissæ,
in Minervæ templo, quod summa in arce visitur, Acrisii sepulchrum est;
Athenis autem in ipsa pariter Acropoli, Cecropis, ut Antiochus historiarum
3 nono scriptum reliquit. Quid porro Erichthonius? nonne in Poliadis
templo sepultus est? Nonne Ismarus Eumolpi Dairæque filius, in Eleu-
sinii septis, quod sub arcem constructum est? nonne Celei filiæ, Eleusine
4 sepulturæ mandatæ sunt? Nam quid hyperboreas tibi mulieres comme-
morem? Duæ sane, quarum altera Hyperoche, Laodice altera vocabatur,
in Dianæ sacello, quod in insula Delo Apollinis Delii templo continetur,
5 sepultæ sunt. Leander autem Cleomachum Mileti, in Apollinis Didymæi
templo conditum esse testatur. Neque vero æquum fuerit hoc loco
præterire, aut Leucophrynes illius monimentum, quæ, si Zenonem Myn-
dium sequamur, Magnesiæ in Dianæ templo sepulta est; aut Telmissi

Ἀπόλλωνος βωμόν· μνῆμα εἶναι καὶ τοῦτον Τελμησσέως τοῦ ΚΛΗΜΕΝΤΟΣ
6 μάντεως ἱστοροῦσι. Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου ἐν
τῇ πρώτῳ τῶν περὶ τὸν Φιλοπάτορα ἐν Πάφῳ λέγει ἐν τῷ
τῆς Ἀφροδίτης ἱερῷ Κινύραν τε καὶ τοὺς Κινύρου ἀπογό-
7 νους κεκηδεῦσθαι. Ἀλλὰ γὰρ ἐπιόντι μοι τοὺς προσκυνουμέ- p. 72
νους ὑμῖν τάφους, ἐμοὶ μὲν οὐδὲ ὁ πᾶς ἂν ἀρκέσαι χρόνος·
ὑμᾶς δὲ εἰ μὴ ὑπεισέρχεταί τις αἰσχύνη τῶν τολμημάτων,
νεκροὶ ἄρα τέλεον νεκροῖς πεπιστευκότες περιέρχεσθε·

ἆ δειλοί, τί κακὸν τόδε πάσχετε;

8 Καὶ μετ' ὀλίγα φησί·

Καινὸν δὲ ἄλλον ἐν Αἰγύπτῳ, ὀλίγου δεῖν καὶ παρ' Ἕλ-
λησι, σεβασμίως τεθείακε θεὸν ὁ βασιλεὺς Ῥωμαίων, τὸν
ἐρώμενον ὡραιότατον σφόδρα γενόμενον Ἀντίνοον ἀνιέρω- b
9 σεν οὗτος, ὡς Γανυμήδην ὁ Ζεύς· οὐ γὰρ κωλύεται ῥᾳδίως
ἐπιθυμία φόβον οὐκ ἔχουσα· καὶ νύκτας ἱερὰς τὰς Ἀντινόου

d 9. τοῦ Τελμ. D. τελμισέως F.G. τελμισσέως H. 10. ἀγησάρχου] ἀγισάρχου C.D.F.G. Mox πρώτῳ om. B. 11. Πάμφῳ] Πάφῳ C.H. γρ. S. 13. Κινύρου] Κινύρας H.

p. 72. 2. οὐδὲ ὁ πᾶς—Νέμεα om. B. 4. τολμημάτων] τολμωμένων H. 5. τελέως] τέλεον C.F.H. πεπιστευκότες] πεπιστεύκασι H. qui mox ἆ δειλοί non ὦ δ. 7. ἄλλον] ἄλλο H. 8. σεβασμίως C.H. σεβασμίας D. 9. θεὸν] θεῶν H. qui add. ὁ ante Ῥωμ. et infra om. ὡραιότατον σφόδρα γενόμενον. b 1. γανυμήδην] γαννυμίδην C. γανν. F.G. 2. ἐπιθυμία] ἐπιθύμα C.F.G. ἡδονή H.

erectam Apollinis aram, quod Telmissis cujusdam vatis monumentum
6 esse historiæ prodiderunt. Quinetiam Ptolemæus Agesarchi filius, volu-
mine ex iis primo, quæ de Philopatre scripsit, auctor est, in insula Papho
7 Cinyram ac Cinyræ posteros, in Veneris templo conditos fuisse. At enim
tempus me deficiat, si tumulos omnes, quibus divinos honores tribuitis,
recensere velim: vos autem, ni scelerum istorum pudor vos aliquis ceperit,
ite porro, vereque mortui, cum vestram in hominibus mortuis fiduciam
collocetis, passim huc illucque vagamini.

O miseri! quid tantum mali sustinere juvat?

8 Hæc ille: paucisque interjectis;

Novum item alium, inquit, Romanus imperator in Ægypto, atque adeo c. 4. p.
in ipsa pene Græcia, ad numinum turbam cum eximia religione deum 43, 24.
aggregavit Antinoum, qui pulcherrimos inter numerandus erat, delicias
amoresque suos, quem ipse, quomodo Ganymedem antea Jupiter, conse-
9 cravit. Nec enim cupiditas ea modum facile tenere potest, quæ nullo
metu cohibetur. Itaque sacræ Antinoi noctes ab hominibus hodie cultu

ΚΛΗΜΕΝΤΟΣ

προσκυνοῦσιν ἄνθρωποι νῦν, ἃς αἰσχρὰς ἠπίστατο ὁ συναγρυπνήσας ἐραστής.

Καὶ ἐπάγει,

Ἤδη δὲ ὁ τάφος τοῦ ἐρωμένου νεὼς ἐστιν Ἀντινόου καὶ πόλις· καθάπερ γὰρ, οἶμαι, οἱ ναοὶ, οὕτω καὶ οἱ τάφοι θαυμάζονται, πυραμίδες καὶ μαυσώλια, καὶ λαβύρινθοι· ἄλλοι ναοὶ τῶν νεκρῶν, ὡς ἐκεῖνοι τάφοι τῶν θεῶν.

Καὶ πάλιν μετ' ὀλίγα·

Ἴθι δὴ, καὶ τοὺς ἀγῶνας ἐν βραχεῖ περιοδεύσωμεν, καὶ τὰς
ἐπιτυμβίους ταυτασὶ πανηγύρεις καταλύσωμεν, Ἴσθμιά τε, c
καὶ Νέμεα, καὶ Πύθια, καὶ τὰ ἐπὶ τούτοις Ὀλύμπια. Πυθοῖ
μὲν οὖν ὁ δράκων ὁ Πύθιος θρησκεύεται, καὶ τοῦ ὄφεως ἡ
πανήγυρις καταγγέλλεται Πύθια· Ἰσθμοῖ δὲ σκύβαλον προσέπτυσεν ἐλεεινὸν ἡ θάλασσα, καὶ Μελικέρτην ὀδύρεται τὰ
Ἴσθμια· Νεμέασι δὲ ἄλλο παιδίον Ἀρχέμορος κεκήδευται,
καὶ τοῦ παιδίου ὁ ἐπιτάφιος προσαγορεύεται Νέμεα. Πίσα δ'
ἐστὶν ἐν ὑμῖν τάφος, ὦ Πανέλληνες, ἡνιόχου Φρυγὸς, καὶ τοῦ d
Πέλοπος τὰς χοὰς τὰ Ὀλύμπια ὁ Φειδίου σφετερίζεται Ζεύς.

6. ἐπάγει] καὶ ἐπάγει C.D.E.F.G.H. 7. πόλις] πέλεις C. πόλεις F.G.H. γὰρ] δὲ C.F.G.H. Tum οὕτω δὲ καὶ H. 9. μαυσῶλα] μαυσώλια H. Clem. 12. περιοδεύσωμεν] περιοδεύσομεν C.D. c 2. καὶ πύθια om. C.F.G. 5. δὲ σκύβ.] δὲ om. C.F.G. 8. κεκήδευται] κεκέδευται C. Supra πεδίον D.E. 9. ὁ ἐπιτάφιος] ἐπιτάφια H. 10. ὑμῖν] ἡμῖν C.F.G. d 2. σφετερίζεται ὁ Φει.] ὁ Φει. σφετ. B.C. F.G.H.

divino celebrantur, quarum turpitudinis sibi amator ipse conscius erat, qui eas cum puero vigilarat.

Tum subdit:

p. 44, 1.

Nunc vero catamiti hujus sepulcrum, Antinoi templum et oppidum est. Enimvero, simili, opinor, templa sepulcraque admiratione prosequuntur: pyramides quippe, mausolea, labyrinthi, alia quædam sunt templa mortuorum, quemadmodum illa, deorum sepulchra.

Idemque paulo post:

c. 2. p. 29, 7. Agones quatuor funebres omnes.

Age vero, inquit, certamina quoque vestra paucis obeamus, ac sepulcrales istos conventus, Isthmica, Nemea, Pythia, Olympia denique, dissipemus. Pythone quidem, Pythium draconem venerantur, serpentisque conventum nomine Pythiorum indicunt. Apud Isthmum autem, mare ejectitium ac miserabile cadaver expuit, jamque Melicertem Isthmia lamentantur. Nemeæ similiter, cum alium pusionem Archemorum condidissent, hujus sepulcrale certamen Nemea nuncuparunt. Pisa quoque apud vos, o Græcorum genus universum, aurigæ Phrygii tumulus est: atque Olympia, hoc est Pelopis inferias, Phidiacus sibi Jupiter vindicat.

11 Ταῦτα μὲν οὗτος. Σὺ δὲ τὸν λόγον ἐξ ἀρχῆς ἀνα-
λαβὼν τῆς δεισιδαίμονος πλάνης ἐπίσκεψαι τὴν διάπτω-
[46] σιν. Φύσει μὲν οὖν καὶ αὐτοδιδάκτοις ἐννοίαις, μᾶλλον
δὲ θεοδιδάκτοις, καλόν τι καὶ ὠφέλιμον τυγχάνειν, τὸ
σημαῖνον τὴν τοῦ Θεοῦ προσηγορίαν τε καὶ οὐσίαν·
πάντες γὰρ ἄνθρωποι κοινοῖς λογισμοῖς προειλήφεσαν,
τοῦ τῶν ὅλων δημιουργοῦ τοῦτο πάσῃ λογικῇ καὶ νοερᾷ
12 ψυχῇ φυσικαῖς ἐννοίαις ὑποσπείραντος. Οὐ μὴν καὶ
τῇ προαιρέσει τῇ κατὰ λόγον ἐκέχρηντο· εἷς μὲν γὰρ p. 73
που τάχα τις καὶ δεύτερος, ἢ καί τινες ἄλλοι κομιδῇ
βραχεῖς, ὧν τὴν μνήμην τὰ Ἑβραίων περιέχει λόγια,
εἰς οὐδὲν τῶν ὁρωμένων ἐφαρμόσαντες τὴν περὶ Θεοῦ
ἔννοιαν, ἀδιαστρόφοις δὲ τοῖς λογισμοῖς ἐπὶ τὸν τοῦ
σύμπαντος κόσμου δημιουργὸν καὶ τὸν μέγαν τῶν ὅλων
ποιητὴν ἐκ τῶν ὁρωμένων ἀναγαγόντες, διανοίας ὄμμασι
κεκαθαρμένοις μόνον αὐτὸν εἶναι Θεὸν, τὸν πάντων σω-

d 3. οὗτος] οὕτως D.H. 9. Θεοῦ] σωτῆρος ἡμῶν H.
p. 73. εἷς μὲν] ἴσμεν B.C.F.G. Tum τάχα που C.F.G. που om. H. 8. ἐκ τῶν] καὶ τῶν F. διανοίας ὄμμασι] τὰ δ. ὄμματα H. 9. αὐτὸν] αὐτὸν τὸν F. 10. τὸν πάντων] τῶν π. C.D. τὸν θεὸν τῶν π. H.

11 Hactenus Clemens. Tu vero superiorem nostram de superstitioso
errore disputationem ab initio repetens, totam hanc miserorum pro-
lapsionem uno aspectu intuere. Ac primum quidem eximium illud
esse ac salutare in primis, quod Dei nomen essentiamque significat,
ipsius naturæ ductu, impressisque animo per sese notionibus, vel
divinitus potius inspiratis, nemo non intelligit: hoc enim omnes
populi communi quodam rationis sensu præcepere, cum id omni
animo ratione et intelligentia prædito, idem hujus universitatis
12 artifex naturalibus quibusdam cogitationibus inseverit. At vero,
nequaquam ad ejusmodi religionis institutum adhæsere, quod rationis
lumen ostendebat. Nam unus fortassis alterve duntaxat, aut si qui
alii, sane paucissimi, quos Hebræorum literæ celebrarunt, quum ad
nullam rerum earum quæ oculis usurpantur, haustam animis de divino
numine notionem affixissent, sed eam ad magnum illum ac præpo-
tentem orbis hujus universi molitorem, ab eorum quæ sub aspectum
cadunt omnium ab turba, constanti ac certa mentis inductione sustu-
lissent, eundem unum esse Deum, simulque omnium servatorem, ac
solum bonorum auctorem purioribus intelligentiæ oculis perviderunt.

τῆρα, καὶ μόνον ἀγαθῶν δοτῆρα συνενόησαν· οἱ δὲ
λοιποὶ παντοίᾳ ψυχῆς ἀμαυρώσει περιτραπέντες κατὰ
βυθὸν ἀσεβείας ἠνέχθησαν, ὥστε θηρίων ἀγρίων τρόπον b
τὸ καλὸν καὶ συμφέρον καὶ ἀγαθὸν μέχρι σωμάτων καὶ
13 σαρκὸς ἡδονῆς στῆσαι. Ταύτῃ δὲ κατὰ τὰ προειρημένα
τοὺς τῶν νενομισμένων τοῦ σώματος καλῶν καὶ χρη-
σίμων εὑρετὰς, ἢ καὶ δυνάστας τινὰς καὶ τυράννους, ἢ
καὶ γόητας καὶ φαρμακέας ἄνδρας, τὴν φύσιν θνητοὺς
καὶ ἀνθρωπίναις κεχρημένους συμφοραῖς, ὡς ἀγαθῶν
χορηγοὺς, σωτῆρας καὶ θεοὺς ἀναγορεύειν, τὴν σεβά-
σμιον ἔννοιαν φυσικῶς αὐτοῖς ἐνυπάρχουσαν ἐφ' οὓς c
14 ἐνόμιζον εὐεργέτας μετατεθεικότες. Τοσαύτη δ' ἄρα
συνεῖχεν αὐτοὺς φρενῶν ἀποπληξία, ὡς μηδὲν τῶν
πλημμελουμένων τοῖς θεολογουμένοις ὑπολογίζεσθαι,
μηδ' ἐρυθριᾶν ἐπὶ τοῖς αἰσχρῶς περὶ αὐτῶν φημιζομέ-
νοις, τὰ πάντα δὲ τοὺς ἄνδρας διὰ τὰς παρ' αὐτῶν

b. θηρῶν] θηρίων C.F.G. 3. ὀμμάτων] σωμάτων D. μέχρι σωμάτων H. 4. ταύτῃ δὲ] ταύτῃ τε B.H. Tum καὶ H. pro κατά. Mox τοὺς om. F.G. 5. νενομισμένων] νομιζομένων H. 6. εὑρέτας] εὐεργέτας H. ἢ καὶ] ἢ om. C. 8. τὴν φύσιν] τῇ φύσει H. qui infra συμφοραῖς. 11. σεβάσμιον] σεβασμίαν H. c. μεταθεικότες] μετατεθεικότες D.F.G. 3. πλημμελουμένων τοῖς θεολογουμένοις ὑπολ.] πλημμελουμένοις ἐπιλ. H. 5. αἰσχρῶς] αἰσχροῖς H. 7. διὰ τὰς] δι' ἃς H. παρ' αὐτῶν] ἐξ αὐτῶν H.

Cæteri autem multiplici variaque animorum in caligine volutati, in impietatis barathrum ita corruerunt, ut brutarum animantium ritu, honesti, utilis, bonique rationem una oculorum et corporis voluptate
13 metirentur. Itaque, si qui vel eorum aliquid invenirent, quæ fovendo curandoque corpori utilia putarentur, vel imperium aut tyrannidem occuparent, vel præstigiis veneficiisque præstarent; eos, ut superius commemoravi, licet alioqui morti ac reliquis humanæ naturæ casibus obnoxios, tanquam eos, a quibus cum reliqua bona, tum ipsam quoque salutem haberent, adeoque tanquam deos celebrarunt, ac venerandam illam augustamque notionem, quam a natura hauserant atque expresserant, in eos quos ejusmodi beneficiorum auctores esse cense-
14 bant, contulerunt. Eos præterea tantus animorum stupor invasit, ut omnia consecratorum abs sese numinum scelera facile paterentur, nec ad quidquam eorum quæ de ipsis fœdissime jactabantur, erubescerent; sed potius quicquid ad eos pertineret, sive propter ipsorum in hominum genus merita, sive propter imperia vel tyrannides

Numina beneficiorum magnitudine consecrata.

παρεχομένας ὠφελείας, ἢ καὶ διὰ τὰς τότε πρῶτον συνι-
σταμένας δυναστείας τε καὶ τυραννίδας ἀποθαυμάζειν.
15 Νόμων γοῦν, ὥσπερ ἔφην ἤδη πρότερον, μηδέπω τότε
ἐν ἀνθρώποις πολιτευομένων, μηδ' ἐπὶ τοῖς ἁμαρτανο- d
μένοις τιμωρίας ἐπηωρημένης, μοιχείας καὶ ἀρρένων
φθορὰς, ἐκθέσμους τε καὶ παρανόμους γάμους, μιαι-
φονίας τε καὶ πατροκτονίας, τέκνων τε καὶ ἀδελφῶν
σφαγὰς, ναὶ μὴν καὶ πολέμους καὶ στάσεις πεπραγμένας
ὄντως τοῖς οἰκείοις προστάταις, οὓς θεοὺς ἡγοῦντό τε
καὶ ἀπεκάλουν, ὥσπερ ἐν μέρει κατορθωμάτων καὶ ἀν-
δραγαθίας ἀπεμνημόνευον, τὴν τούτων μνήμην ὡς σε-
μνῶν καὶ ἀνδρείων τοῖς ὀψιγόνοις ἀπολιπόντες.

16 Τοιαῦτα ἦν τὰ τῆς παλαιᾶς θεολογίας, ἣν μεταβα-
λόντες νέοι τινὲς, χθὲς καὶ πρώην ἐπιφυέντες, λογικώτε- p. 74
ρόν τε φιλοσοφεῖν αὐχοῦντες, τὴν δὴ φυσικωτέραν τῆς
περὶ θεῶν ἱστορίας δόξαν εἰσηγήσαντο, σεμνοτέρας

c 10. νόμων] νόμος H. d 2. ἁμαρτίας] λυμαρτίαις C. τιμωρίας conj. Vigerus. et sic H. qui statim ἐπαιωρησμένης. Vulg. ἀπηωρημένης. 3. τε καὶ] τε διὰ C.F.G. 5. καὶ] ναὶ F.H. 6. στάσεις] τὰς εἰς H. 7. προστάταις] πρὸς ταύταις C.F.G. pen. μεταβαλόντες] μεταλαβόντες D. ult. χθὲς] ἐχθὲς H.
p. 74. λογικώτερόν τε] λογικώτερον ἔχειν H. τὴν δὴ] τὴν δὲ C.D.

eo primum tempore constitutas, singulari cum approbatione suspice-
15 rent. Cum igitur necdum (ut ante dixi) legibus ullis hominum vita regeretur, pœnaque flagitiis nulla immineret; adulteria, mariumque concubitus, nefandas item flagitiosasque nuptias, cædes, parricidia, liberorum, fratrumque jugulationes, bella denique et animorum intestina dissidia, quibus eorum principes, quos illi deos opinabantur et vocabant, se ipsos vere obstrinxerant, sic tanquam rerum ab iis præclare gestarum, eximiæque virtutis monimenta celebrabant, eorumque, quasi egregiorum quorundam facinorum ac præcipua cum fortitudinis laude conjunctorum, memoriam ad posteros ipsi suos
16 propagabant. Atque hujusmodi fuit priscorum hominum theologia, quam nuperi quidam ac nudiustertius exclusi sic immutarunt, ut subtiliorem nescio quam philosophandi rationem jactantes, rerum scilicet naturæ propiorem de deorum historia opinionem inveherent, et honestiorem aliquam novorum commentorum speciem fabulis attexerent: hoc nimirum sequuti, ut nec omnino a scelerata majo-

εὑρεσιολογίας τοῖς μύθοις προσεπινοήσαντες, καὶ μήτε
πάντη τῶν προπατόρων τὸ πλημμελὲς τῆς δυσσεβείας
ἐκφυγόντες, μήτ' αὖ πάλιν τὴν αὐτόθεν προφαινομένην
17 τῶν θεολογουμένων μοχθηρίαν ὑπομείναντες. Θερα-
πεῦσαι δ' οὖν ὅμως οἵδε τὸ πατρικὸν ἁμάρτημα προ-
θυμηθέντες ἐπὶ φυσικὰς διηγήσεις καὶ θεωρίας τοὺς μύ-
θους μετεσκευάσαντο, τὰ θρεπτικὰ καὶ αὐξητικὰ τῆς b
τῶν σωμάτων φύσεως ταῦτ' εἶναι τὰ διὰ τῶν μύθων
18 δηλούμενα ὡς δὴ μυστικώτερον κομπάσαντες. Ἔνθεν
ἀνιόντες καὶ οἵδε τὰ στοιχεῖα τοῦ κόσμου θεοὺς ἐπεφή-
μισαν, οὐκ αὐτὸ μόνον ἥλιον καὶ σελήνην καὶ ἄστρα,
προσέτι δὲ γῆν καὶ ὕδωρ, ἀέρα τε καὶ πῦρ, τά τε ἐκ τού-
των συγκρίματά τε καὶ ἀποτελέσματα, ναὶ μὴν καὶ
τοὺς ὡραίους ἀπὸ τῆς γῆς καρποὺς, καὶ τὰ λοιπὰ τῆς
ξηρᾶς καὶ ὑγρᾶς τροφῆς βλαστήματα, ἃ καὶ αὐτὰ, ὡς

a 3. εὑρεσιολογ.] εὑρεσιλ. B.G. εὑρησιλογ. H. Vid. Wyttenbach. ad Plutarch. p. 37. E. Mox προεπινοήσ. H. 4. μήτε] μήπω C.F.G. 5. δυσσεβείας] εὐσεβείας B. δυσεβείας F. 7. θεολογουμένων] θεολόγων C. cum θεολόγων θεολογοῦμεν in marg. θεολόγων cum θεολογουμένων in marg. G. τῶν θεολόγων F. 8. ὅμως om. H. qui mox προκείμενον pro πατρικόν. b. τὰ θρεπτ.] τὰ om. H. 4. ἐπεφήμισαν] ἐπευφήμισαν C.F.G. Supra μυστικώτερα H. et ἀΐοντες. 5. ἄστρα] τὰ ἄστρα H. 7. τε καὶ] τε om. H. 8. γῆς] τῆς γῆς C.F.G.

rum suorum impietate discederent, nec omnino tamen ex illorum
religionibus existentem consecratorum numinum improbitatem pate-
17 rentur. Hi ergo, cum semel patrium errorem quoquo modo procu-
rare statuissent, ad naturalium caussarum atque rationum explica-
tionem fabulas traduxere. Ac primum, quibus alendi corporis augen-
dique vis inesset, ea fabulis significari novo et insolenti fastu jacta-
bant, perinde ac si quid arcanum magis magisque reconditum
18 attulissent: mox vero progressi ulterius, mundi etiam elementa
deorum in numero ita collocarunt, ut ne in sole quidem ac luna
cæteraque astrorum multitudine sisterent, sed ipsam quoque terram,
cum aqua, aëre, igne, adeoque cum iis quæ horum ex temperatione
ac permistione conflantur, adjungerent. Quinetiam tempestivos
terræ fructus, aliaque tum siccioris, tum humidioris alimenti germina:
quæ, quod ipsa quoque nostrorum corporum vitam conservarent,

Res inanimæ pro diis habitæ.

ἂν τῆς τῶν σωμάτων ζωῆς αἴτια, Δήμητραν καὶ Κόρην
[47] καὶ Διόνυσον καὶ ὅσα ἄλλα τούτοις ἐμφερῆ προσειπόν- c
τες τεθειάκασι, βεβιασμένον καὶ οὐκ ἀληθῆ τῶν μύθων
19 τὸν καλλωπισμὸν εἰσηγησάμενοι. Ἀλλ' οὗτοι μὲν
ὀψέ ποτε, ὡς ἂν ἐπαισχυνόμενοι τὰς τῶν προγόνων
θεολογίας, οἴκοθεν ἃς ἕκαστος ἐφεῦρε σεμνολογίας τοῖς
περὶ θεῶν μύθοις προσεπενόησαν, κινεῖν τὰ πάτρια τολ-
μῶντος οὐδενὸς, περὶ πολλοῦ δὲ τὴν ἀρχαιότητα καὶ
τὴν συνήθη καὶ σύντροφον ἐκ παίδων ἀγωγὴν τιμώμε-
20 νοι. Οἵ γε μὴν τούτων πρεσβύτεροι ἐν ἴσῳ τῇ τῶν
ἀνδρῶν θεοποιΐᾳ καὶ τὰς τῶν ἀλόγων ζώων ἐκθεώσεις
διετάξαντο διὰ τὸ καὶ ἐξ αὐτῶν χρήσιμον κατὰ τὰς
πρόσθεν ἀποδοθείσας αἰτίας· καὶ τοῖς ἀλόγοις θηρίοις d
τὰς ἴσας ἀφιέρωσαν θρησκείας, σπονδαῖς καὶ θυσίαις
καὶ μυστικαῖς τελεταῖς, ὕμνοις τε καὶ ᾠδαῖς, ὁμοίως τοῖς
τεθεοποιημένοις ἀνδράσι, καὶ τὰς τούτων τιμὰς ἐπάραν-

c 4. οἴκοθεν ἃς ἕκαστος ἐφεῦρε σεμνολογίας] οἳ καθ' ἕνα ἕκαστον ἐφευρόντες θεολόγιας H. 6. τολμῶντος] τολμήματα H. 7. ἀρχαιότητα εἶναι] εἶναι om. C.D.F.G.H. d 2. σπονδαῖς] σπουδαῖς C. 3. καὶ μυστικαῖς—ὑποκορίζονται om. B. 4. ᾠδαῖς] ᾠδαῖς πνευματικαῖς H. 5. ἐπάρτες] ἐπάραντες C.H.

Cereris, Proserpinæ, Bacchi, ac cæteris ejusmodi nominibus consecrarunt, coactum nescio quem minimeque verum fabulis vultum et
19 colorem affingentes. Verum, licet isti serius, quod eos majorum suorum theologiæ suppuderet, honestiorem quendam, prout suum cuique cerebrum cuderet, ad veteres illas deorum fabulas explicatum adjungerent, nemo tamen ritus patrios mutare ausus est, sed omnes potius cum priscorum instituta, tum usitatam illam quæque secum a pueris adoleverat sacrorum religionisque rationem præcipuo studio
20 retinendam sibi colendamque putaverunt. At qui eosdem ætate præcesserant, brutorum animalium consecrationem æquali plane cum hominum ipsorum apotheosi dignitatis jure esse voluerunt, partim ea quam ex ipsis capiebant utilitate, partim cæterarum caussarum, quas ante protulimus, conjunctione permoti. Itaque, pares omnino pecudibus ratione carentibus superstitiosæ venerationis honores sacris legibus ita statuere, ut libationibus, sacrificiis, et arcanis initiandi ritibus, hymnis denique et carminibus, perinde atque hominum ipsorum quibus divinitatem dederunt, earum cultui majestatem con-

τες· εἰς τοσοῦτον δὲ ἄρα κακῶν ἤλαυνον, ὡς δι' ὑπερβολὴν ἡδυπαθείας ἀκρατοῦς τὰ ὁλκὰ πρὸς αἰσχρουργίαν μέρη τοῦ σώματος τά τε ἀκόλαστα ἐν ἀνθρώποις πάθη ταῖς ἰσοθέοις ἐκθειάσαι τιμαῖς, μηδὲν τοπαράπαν ἐν τούτοις χρῆναι σεμνολογεῖν τῶν δὴ θεολόγων αὐτῶν ἀποφηναμένων.

21 Τηρητέον γοῦν ὡς ὅτι μάλιστα οἱ παλαίτατοι οὐδέν τι πλέον τῆς ἱστορίας εἰδότες, μόνοις δὲ τοῖς μύθοις προσανέχοντες ἐμαρτυρήθησαν. Πλὴν ἀλλ' ἐπείπερ p. 75
ἅπαξ ὡρμήθημεν καὶ τὰ σεμνὰ καὶ ἀπόρρητα τῶν γενναίων φιλοσόφων κατασκοπῆσαι, φέρε καὶ ταῦτα ἐπιθεωρήσωμεν, ὡς ἂν μὴ δοκοῖμεν ἀγνοεῖν καὶ τὰς θαυ-
22 μαστὰς αὐτῶν φυσιολογίας. Πρὶν δὲ τὴν ἔκθεσιν ποιήσασθαι τούτων, ἐμοὶ δοκεῖ προεπισημήνασθαι καὶ

d 6. ἡδυπαθείας ἀκρατοῦς] ἀκρ. ἡδυπ. H. 7. ὁλκὰ] ἐφολκὰ Valckenær. ad Callim. p. 289. 8. τά τε] τά γε C. 9. ἐκθειάσαι] ἐκθειάσας C. τὸ παράπ.] τὸ om. C. δὲ παράπαν F.G. 11. τηρητέον] Hic rursus incipit A. ὡς ὅτι] ὡς ἔνι A.H. ἤ τι C.

p. 75. ἀλλ'] πλὴν ἀλλ' A.H. 4. δοκοῖμεν] δοκοίημεν A.H. Mox ἀνοεῖν C. 5. φιλοσοφίας] φυσιολογίας A.C.F.G.H.V. γρ. S. et cum γρ. in marg. D. 6. ἔκθεσιν ποιήσασθαι] π. ἔκθ. A. ἔκθεσιν τούτων π.
χρὴ
C.E.F.G. τούτων (et in marg. ποιήσασθαι) ἔκθεσιν ἐπισημήνασθαι τὴν αὐτῶν τῶν sic A. προσεπισημήνεσθαι D. προεπισημήνασθαι F.G. ἔκθεσιν τῶν θαυμ. φιλ. κἂν τούτ. πρὸς ἑαυτοὺς ἐπισημήνασθαι χρὴ τὴν αὐτῶν πρὸς H.

ciliarent. Tandem eo flagitiorum devenere, ut impotenti fœdissimæ libidinis æstu concitati, partes etiam corporis turpitudinem ac venerem cientes, dirasque ac protervas hominum cupiditates divinis plane honoribus prosequerentur, cum in ejusmodi rebus nullum quæsito affectatoque verborum pudori esse locum oportere præclari theologi
21 decrevissent. Maneat igitur veteres, ut nihil præter nudam rerum historiam noverant, sic ad ipsas tantum fabulas semper adhæsisse, multis hactenus testimoniis esse comprobatum. Sed quoniam speciosa quoque ac recondita egregiorum philosophorum dogmata jam semel explorare cœpimus, age, propius etiam illa contemplemur, ne saltem eximias eorum philosophandi rationes ignorare videamur.
22 Prius tamen, quam eas in medium afferimus, juverit, opinor, quam graviter magni isti philosophi non modo cum aliis hoc in genere, sed etiam secum ipsi pugnent, observare. Nam cum hac in physio-

τὴν αὐτῶν τῶν θαυμαστῶν φιλοσόφων κἂν τούτοις πρὸς
ἑαυτοὺς ἐναντιολογίαν. Οἱ μὲν γὰρ τηνάλλως διη-
γοῦνται, καὶ κατὰ τὸ παραστὰν ἑκάστοις ἰδίως ἀποφαί- b
νονται· οὐδὲ γὰρ ἀλλήλοις σύμφωνα φυσιολογοῦσιν·
οἱ δὲ εὐγνωμονέστερον τὸ σύμπαν ἀναιροῦσιν, καὶ τῆς
οἰκείας πολιτείας οὐ μόνον τὰς ἀπρεπεῖς περὶ θεῶν διη-
γήσεις ἀλλὰ καὶ τὰς τούτων ἑρμηνείας ἀπελαύνουσιν·
ἔστι δ' ὅτε φόβῳ τῆς ἀπὸ τῶν νόμων τιμωρίας τοὺς
23 μύθους ὑποκορίζονται. Ἄκουε δ' οὖν αὐτῶν τῶν Ἑλ-
λήνων δι' ἑνὸς τοῦ πάντων ἀρίστου τοτὲ μὲν ἐξωθοῦν-
τος, τοτὲ δ' αὖ πάλιν εἰσποιουμένου τοὺς μύθους. Ὁ
δ' οὖν θαυμάσιος αὐτῶν Πλάτων, ὅτε μὲν τὴν οἰκείαν c
ἀπογυμνοῖ προαίρεσιν, τολμηρότερον ἀπαγορεύει καθό-
λου περὶ θεῶν τοιαῦτα φρονεῖν τε καὶ λέγειν οἷα τοῖς
παλαιοῖς εἴρηται, εἴ τε περιέχοιέν τι λεληθὸς ἐν ὑπο-

a 7. αὐτὴν] αὐτῶν C.F.G. 8. κἂν] καὶ E. 9. ἐναντιολογίαν] ἐναντιο
φυσιολογίαν D. τὴν ἄλλως] τηνάλως C.F.G. τὸν ἄλλως E. qui statim διηγοῦντα. 10. ἕκαστος] ἑκάστοις A.H. Mox ἀποφανέται H. b 2. εὐγνωμονέστεροι] εὐγνωμονέστερον A.F.G. 4. περὶ θεῶν διηγήσεις] διηγ. π. θ. C.E.F.G. περὶ θεῶν τὰς ἀπ. διηγ. H. 8. Ἑλλήνων] τῶν Ἑλ. A.H. 10. οὖν] αὖ A.B.C.F.G.H. 11. θαυμάσιος] θαυμασίως H. qui infra οἰκείαν αὐτοῦ. c 2. ἀπαγορεύει] ἀγορεύειν A. 4. εἴρηται] εἴρητο A.H. Mox λεληθὸς om. B.C.E.F.G.

logia nulla sit inter eos sententiarum opinionumque conjunctio, alii temere ac prout sua cuique mens suggesserit, rem totam definiunt; alii melioris utique fidei, simul universa tollunt, nec ea solum omnia quæ de diis tanta cum indignitate jactantur, sed eorum quoque explicationes reipublicæ suæ finibus ejiciunt; tametsi pœnarum legibus constitutarum metu fabulis interdum
23 ipsis lenocinentur. Græcos ergo philosophos audi, unius tamen ore omnium præstantissimi, easdemque fabulas modo procul amandantis, modo contra studiose retinentis. Plato ille est, quem tantopere suspiciunt, qui si quando suam ipse mentem ac sensum aperiat, tum vero majori cum libertate prorsus interdicit, quo minus ea quæ a veteribus decantata olim fuerant, de diis in posterum sentiantur; sive reconditioris aliquid iis inclusum lateat, quod verborum ac sententiarum allegoriis indicetur, sive eadem extra omnem allego-

νοίαις δηλούμενον, εἴτε ἐκτὸς πάσης ὑπονοίας λέγοιτο· ὅτε δὲ τοὺς νόμους ὑποκορίζεται, καὶ δεῖν φησὶ τοῖς περὶ θεῶν μύθοις πιστεύειν, ὡς μηδὲν ἔχουσιν ἐν ὑπο-
24 νοίαις ἐξ αὐτῶν δηλούμενον. Ἤδη δέ ποτε τῶν παλαιῶν μύθων τὴν οἰκείαν θεολογίαν ἀφορίσας, περί τε οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων, καὶ ἔτι περὶ τοῦ σύμπαντος κόσμου, καὶ τῶν τούτου μερῶν d
κεχωρισμένως φυσιολογήσας, ἰδίως πάλιν καὶ ἀφωρισμένως περὶ τῶν πάλαι γενεαλογηθέντων θεῶν ὧδέ πως αὐτοῖς ῥήμασιν ἐν τῷ Τιμαίῳ διέξεισιν·

7 ΠΛΑΤΩΝΟΣ

Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς· πιστευτέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ πως p. 76
τοὺς ἑαυτῶν προγόνους εἰδόσιν. Ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καίπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέ-

c 6. ὅτε δὲ] ἀντικολακεύει A. in marg. 7. τοῖς—μύθοις] τοὺς—μύθους H. d 2. ἀφωρισμένως] ἀφορ. C. 11. πειστέον] πιστευτέον A.H. et sic Theodoret. p. 12, 37. 43, 24.

p. 76. 1. σαφῶς δὲ] σαφῶς γέ πως A. σ. δέ που τοὺς D. σ. δέ πως bis Theodoret. 2. δὲ τοὺς] γέ πως τοὺς H. εἰδόσιν] εἰδότων A.C.D. F.H. Theodoreti MSS. loco priore. 3. θεῶν παισὶν] παισὶ θεῶν A. θεῶν οὖν π. C.F.G. 4. ἀποδείξ.] ὑποδείξ. D.

riam figuramque dicantur. Ubi autem ad leges sese orationemque suam homo meticulosus accommodat, simul jactatis de natura deorum fabulis habendam esse fidem pronunciat, quippe quæ nihil per
24 sese aliud figurarum integumentis significatum repræsentent. Idem præterea posteaquam suam ipse theologiam ab antiquarum fabularum societate commercioque sejunxit, deque cœlo, sole, luna, sideribus, imo de tota hac universitate, ac singulis ejus partibus seorsim physiologi more disputavit, suam iterum de diis, quorum genealogiam veteres illi texuerant, opinionem his verbis plane explicateque conceptam in Timæo prosequitur.

7 Plato Tim. p. 40.

Jam vero de cæteris, inquit, dæmonibus disserere, aut eorum nosse procreationem, non est facultatis viriumque nostrarum. Itaque fidem iis qui naturam illorum jam olim explicarunt habere nos oportet, quippe qui deorum nepotes cum fuerint, ut ipsi confirmant, suos quoque majores optime noverint. Et sane fieri nullo modo potest, ut deorum liberis fides negetur, in iis etiam quæ sine ulla verisimilium aut necessariarum probatio-

ΠΛΑΤΩΝΟΣ

γουσιν, ἀλλ' ὡς οἰκεῖα φασκόντων ἀπαγγέλλειν ἑπομένους τῷ
2 νόμῳ πιστευτέον. Οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις
[48] περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανὸς καὶ Τηθὺς ἐγενέσθην· τούτων δὲ Φόρκυς. Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων· ἐκ δὲ Κρόνου τε καὶ Ῥέας, Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν b
πάντας ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τούτων ἐκγόνους ἄλλους.

3 Ταῦτά φησιν ὁ Πλάτων ἑπομένους τῷ νόμῳ πιστευτέα εἶναι, καίπερ ἄνευ εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων εἰρῆσθαι αὐτὰ ὁμολογήσας· προσεκτέον δὲ, ὡς οὐδὲν ἔχειν ἀπόρρητον τὰς τῶν θεῶν δὴ προσηγορίας τε καὶ
4 γενεαλογίας ἐν φυσιολογίαις δηλούμενον ἐμφαίνει. Αὖθις δ' ἐν ἑτέροις ὁ αὐτὸς τὴν οἰκείαν ἀπογυμνῶν προαί- c
ρεσιν πάλιν τούτοις κέχρηται τοῖς ῥήμασι·

Πρῶτον μὲν, ἦν δ' ἐγὼ, τὸ μέγιστον καὶ περὶ τῶν μεγί-

a 9. Τηθὺς] πιθὺξ C. παῖδας—τηθοὺς D. 10. ἐγενέσθην] γενέσθην A.C.F.H. 11. Ῥέα] ῥέα ζεὺς ἥρα τε καὶ πάντες A.H. μετὰ τούτων] μετ' αὐτῶν B. Κρόνου] τοῦ Κρόνου F. b. πάντες] πάντας B.C.D. F.G. 3. ἔτι τε] ἔτι δὲ A.H. 4. πιστευτέα] πιστευτέον C. 5. ἄνευ] ἄνευ τε A.H. 8. δὴ om. F.H. 9. γενεαλογίας] θεολογίας A.H. Infra αὖθις τε H. c 3. τὸν μέγιστον] τὸ μ. C. ἐγὼ καὶ τὸ μ. D.

num vi atque auctoritate dicunt; sed iis potius tanquam domestica refe-
2 rentibus, quemadmodum lex ipsa jubet, omnino credendum est. Maneat igitur, eoque plane modo commemoretur a nobis deorum istorum generatio, quo illam ab iisdem accepimus. Ex Terra quidem ac Cœlo Oceanus Tethysque nati sunt; ex his vero Phorcys, Saturnus, Rhea, ac cæteri qui ad tres illos aggregari solent. Jam Saturnus ex Rhea Jovem Junonemque suscepit, cum reliquis omnibus quos amborum fratres vulgo recenseri novimus; itaque deinceps reliqui eorum posteri numerantur.

3 Hæc sunt, quibus Plato ex placitis decretisque legum fidem habere jubet, tametsi ea nullis aut necessariorum aut probabilium argumentorum momentis niti fateatur. In quo notandum illud in primis, quod nihil omnino reconditi in ista egregiorum numinum vel appellatione, vel generis serie contineri, quod physiologiæ ra-
4 tionibus explicetur, diserte pronuntiat. Idem vero alibi suam ipse mentem ingenue candideque aperiens, ita loquitur.

Tum ego, In primis, inquam, maximum illud ac de maximis rebus De Rep. p. 377.

ΠΛΑΤΩΝΟΣ

στων ψεῦδος ὁ εἰπὼν οὐ καλῶς ἐψεύσατο, ὡς Οὐρανός τε εἰργάσατο ἅ φησι δρᾶσαι αὐτὸν Ἡσίοδος, ὅ τε αὖ Κρόνος ὡς ἐτιμωρήσατο αὐτόν. Τί δὲ δὴ τὰ τοῦ Κρόνου ἔργα καὶ πάθη ὑπὸ τοῦ υἱέος, οὐδ' ἂν εἰ ἦν ἀληθῆ, ᾤμην δεῖν ῥᾳδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς τε καὶ νέους, ἀλλὰ μάλιστα μὲν σιγᾶσθαι, εἰ δ' ἀνάγκη τις ἦν λέγειν, δι' ἀπορρήτων d ἀκούειν ὡς ὀλιγίστους, θυσαμένους οὐ χοῖρον, ἀλλά τι μέγα καὶ ἄπορον θῦμα, ὅπως ἂν ἐλαχίστοις συνέβη ἀκοῦσαι. Καὶ γάρ, ἦ δ' ὅς, οὗτοί γε οἱ λόγοι χαλεποί. Καὶ οὐ λεκτέοι γε, ὦ Ἀδείμαντε, ἐν τῇ ἡμετέρᾳ πόλει· οὐδὲ δοτέον νέῳ ἀκούοντι, ὡς ἀδικῶν τὰ ἔσχατα οὐδὲν ἂν θαυμαστὸν ποιοῖ, οὐδ' αὖ ἀδικοῦντα πατέρα κολάζων παντὶ τρόπῳ, ἀλλὰ δρῴη ἂν ὅπερ θεῶν οἱ πρῶτοί τε καὶ μέγιστοι. Οὐδὲ αὐτῷ μοι

c 4. ψεῦδος ὁ εἰπὼν] ψευδῶς εἰπὼν A. ψ. ὃ D. ψευδῶς ὁ S. γρ. V. ὁ om. H. οὐ καλῶς ἐψ.] οὐκ ἀληθὲς ἐψ. A.H. γρ. S. οὐκ ἄλλως C.F.G. οὐκ ἀληθῶς Theodoret. p. 44, 1. 5. Οὐρανός τε] τε om. A.H. φησι] φασι C.F.G. 6. ὅ τε αὖ] εἶτ' αὖ A.H. 7. τί δαὶ] τί δὲ B.C.E.F.G. ὅτι δὲ δὴ Theod. Tum τοῦ om. A. 8. υἱέος] υἱέως A.H. ἂν εἰ ἦν] ἂν ἀνείη A. ἂν ᾖ H. Tum ᾤμη H. 9. λέγεσθαι οὕτω] οὕτω λ. A.H. d 2. θυσαμένους] θεασαμένους A.H. Mox ἂν om. H. 3. ἀπόρρητον] ἄπορον B.C.D.F.G. 5. ἦ δ' ὅσον] ἦ δ' ὃς A.C.H.V. ᾗ δ' εἷς F.G. Mox δὴ post λόγοι om. A.C.D.F.G.H. καὶ γὰρ καὶ οἱ λόγοι οὗτοι δὴ B. οὗτοί γε οἱ λ. C.F.G. οὗτοι δὲ H. qui om. γε post λεκτέοι. 8. τὰ ἔσχατά γε] τὰ om. B. γε om. A.C.D.F.G.H. οὐδ' ἂν] οὐδὲν ἂν A.H. οὐδὲν D. οὐδὲν αὖ F.G. 11. οὐ μὰ τὸν Δία, ἦδ' ὅς, οὐδὲ D. in marg.

mendacium qui protulit Hesiodus, non satis prudenter mentitus est, sive dum ea quæ comminiscitur facinora Cœlo tribuit, sive dum quas Saturnus de illo pœnas expetiverit, commemorat. Nam quæ Saturnus idem vel perpetrasse dicitur, vel a filio pertulisse, ea ne si vera quidem essent, tamen apud homines nullius consilii eosque adolescentes, ut facile adeo temereque jactarentur non probarem, sed potius, aut ut omnino silerentur maxime vellem; aut si quando illa proferri necesse esset, saltem ut secreto atque a paucis audirentur, qui non jam porcum, sed eximiam aliquam raramque victimam sacrificarent, ut hoc pacto non nisi paucissimos ejusmodi sermonibus interesse contingeret. Sane, inquit ille, graves enim ac perniciosæ fabulæ istæ sunt. Imo, nec ullatenus (inquam, o Adimante) nostra in republica audiendæ. Nec enim ferendum, ut juvene aliquo præsente dicatur, vel qui teterrimis quibusque sceleribus seipsum obstringat, vel qui acceptas a patre injurias modis omnibus ulciscatur, eum nihil admodum insolentis ac novi perpetrare, cum ea tantum faciat, quæ a principibus maximisque deorum facta esse constet. Tum ille, Equidem ista quoque prorsus indigna censeo quæ hominum auribus occinantur.

6 δοκεῖ ἐπιτήδεια εἶναι λέγειν. Οὐδέ γε, ἦν δ' ἐγὼ, τοπαράπαν, ὡς θεοὶ θεοῖς πολεμοῦσι καὶ ἐπιβουλεύουσι καὶ μάχονται· οὔτε γὰρ ἀληθῆ· εἴ γε δεῖ ἡμῖν τοὺς μέλλοντας τὴν πόλιν p. 77 φυλάξειν αἴσχιστον νομίζειν τὸ ῥᾳδίως ἀλλήλοις ἀπεχθάνεσθαι. Πολλοῦ δεῖ γιγαντομαχίας τε μυθολογητέον αὐτοῖς, καὶ ποικιλτέον καὶ ἄλλας ἔχθρας καὶ παντοδαπὰς θεῶν τε καὶ ἡρώων πρὸς συγγενεῖς τε καὶ οἰκείους αὐτῶν· ἀλλ' εἴ πως μέλλοιμεν πείσειν ὡς οὐδεὶς πώποτε πολίτης ἕτερος ἑτέρῳ ἀπήχθετο, οὐδ' ἔστι τοῦτο ὅσιον, τοιαῦτα μᾶλλον λεκτέα b πρὸς τὰ παιδία εὐθὺς καὶ γέρουσι καὶ γραυσὶ καὶ πρεσβυτέροις γενομένοις, καὶ τοὺς ποιητὰς ἐγγὺς τούτων ἀναγκαστέον

7 λογοποιεῖν. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος, καὶ Ἡφαίστου ῥίψεις ὑπὸ πατρὸς, μέλλοντος τῇ μητρὶ τυπτομένῃ ἀμύνειν, καὶ θεομαχίας ὅσας Ὅμηρός πεποίηκεν, οὐ παραδεκτέον

ΠΛΑΤΩΝΟΣ

p. 77. οὐδὲ] οὐδεὶς H. qui mox οὐδὲ pro οὔτε. 4. τοὺς om. F. τὴν om. F.G. Mox φυλάττειν F. φυλαττειν G. 6. Πολλοῦ] πολλοῦ γε C.D.F.G. Theodoret. Mox C.F.G. om. μυθολογητέον. γιγαντομαχίας τε D. Theodoret. τε add. H. 7. καὶ ποικίλας ἔχθ.] καὶ ποικιλτέον καὶ ἄλλας ἔχθρας καὶ π. A.H.S.V. καὶ ποικιλτέον καὶ ἄλλας παντ. C. καὶ ante παντ. om. B. ποικιλτέον καὶ ἄλλας ἔχθρας παντοδαπὰς D. καὶ ποικιλτέον καὶ ἄλλως ἐχθ. π. F.G. καὶ ὑφαντέον καὶ ἄλλας ἐπιβουλὰς παντοδ. Theodoret. 10. ὡς οὐδεὶς] ὡς om. C.F.G. 11. ἔτι] ἐστι A.D. b 2. καὶ πρεσβ.] καὶ om. A. Tum πρεσβύταις C. 3. ἀναγκαστέον] ἀναγκαῖον A.H.S.V. 4. δεσμοὺς] θεσμοὺς C. Κρόνου δὲ δεσμοὺς ὑπὸ υἱέος S. Διὸς] υἱέος B.C.D.F.G. 7. Ὅμηρός τε] τε om. A.B.C.H.

6 Ego vero, nec illud, inquam, ullo modo ferre possum, ut mutua deorum bella, insidiæ, præliaque narrentur, cum id verum esse nequeat, si modo qui servandam custodiendamque rempublicam suscepturi sunt, eos mutuas facilesque nimium dissensiones tanquam fœdissimas habere oportebit. Tantum abest, ut iis aut gigantum pugnas multiplici fabularum varietate perspersas, aut alias omnis generis inimicitias, ab ipsis diis atque heroibus cum affinibus necessariisque gestas inculcare deceat. Quinimo, si mentem hanc nostris hominibus injicere cupiamus, nemo ut unquam civis popularem suum odio prosequatur, hocque nefas sibi ut esse persuadeant: danda opera fuerit, ut quæ hanc in rem opportuna videbuntur, ea non modo senes atque anus, quique adeo jam ætate maturiores erunt, pueris crebro commemorent; verum etiam ut poetæ similes quoque fabulas

7 scribere cogantur. Nam injecta quidem Junoni a filio vincula, aut Vulcanum præcipitem a patre actum, quod inflictas matri plagas propulsare conaretur, aut ejusmodi numinum pugnas, quales nobis Homerus fabu-

ΠΛΑΤΩΝΟΣ

εἰς τὴν πόλιν, οὔτ' ἐν ὑπονοίαις πεποιημένας, οὔτ' ἄνευ ὑπο-
νοιῶν.

8 Σαφῶς δὴ διὰ τούτων ὁ φιλόσοφος καὶ τοὺς τῶν
παλαιῶν μύθους τοὺς περὶ θεῶν, καὶ τὰς τῶν μύθων ἐν
ὑπονοίαις εἰρῆσθαι νομιζομένας φυσιολογίας παραιτη- c
τέας εἶναι διδάσκει· ὡς μηκέτ' ἀλόγως ἡμῖν καὶ τὴν ἐκ
τούτων ἀναχώρησιν τὴν τοῦ σωτῆρος ἡμῶν εὐαγγελί-
ζεσθαι διδασκαλίαν, ὁπότε καὶ πρὸς τῶν οἰκείων ἀποβέ-
9 βληται. Ὅθεν ἔπεισί μοι καὶ τοὺς παλαιοὺς τῶν Ῥω-
μαίων θαυμάζειν, τίνα τρόπον ἁπάσας τὰς Ἑλληνικὰς
περὶ θεῶν φυσιολογίας ἀτόπους οὔσας καὶ ἀνωφελεῖς
μᾶλλον δὲ βεβιασμένας καὶ ἀσυστάτους κατανοήσαντες,
αὐτοῖς μύθοις τῆς οἰκείας περιέγραψαν θεολογίας. Καὶ d
τοῦτο δέ σοι γνῶναι πάρεστιν ἀπὸ τῆς Διονυσίου τοῦ
Ἁλικαρνασέως Ῥωμαϊκῆς ἀρχαιολογίας· οὗτος γὰρ ἐν

b 8. πεποιημένας] πεποιημένα B.C.F.G. Deest voc. Theodoret. 11. τοὺς om. H. περὶ τῶν θεῶν B. ἐν ὑπονοίαις—οὔσας καὶ om. B. c 3. διδασκ. εὐαγγ. H. 6. τρόπον in marg. ὃν ἁπάσας D. Supra τῶν om. F. 9. ἀσυστάτους] ἀσυστάτως C. 10. τὰς οἰκείας F.G. d 2. τοῦ om. F. τοῦ Διον. τοῦ Ἁ. H. 3. οὗτος γὰρ] γὰρ om. B.

latur, seu latentes quosdam allegoriæ sensus contineant, seu nullos aditum nostram ad rempublicam habere nusquam debere pronuntio.

8 Vides utique, quam diserte philosophus quamque explicate doceat, cum vulgatas illas a veteribus de diis fabulas, tum etiam omnes cujusvis allegoriæ sensus, quos ad physiologiam accommodatos esse putant, excludi penitus atque arceri oportere. Quamobrem nihil profecto caussæ est, cur perperam aut immerito nobis istorum omnium fugam evangelica Servatoris nostri doctrina præcepisse videa-
9 tur; cum eadem a suis quoque rejecta fuerint. Ac mihi quidem priscorum Romanorum hoc in genere consilium, fieri non potest, quin eo nomine vehementer probetur; qui cum satis intelligerent universam illam in fabulis deorum explicandis Græcorum physiologiam cum absurdam atque inutilem, tum vero coactam minimeque solidam et cohærentem esse, eam simul cum ipsis etiam fabulis theologiæ suæ finibus arcendam esse statuerunt. Id quod vel ex unius Dionysii Halicarnassensis de antiqua rerum Romanarum historia libris auferre potes. Ille enim volumine operis secundo, ubi

τῷ δευτέρῳ τὰ κατὰ Ῥωμύλον τὸν πρῶτον κτίστην τῆς Ῥώμης ἱστορῶν τά τε ἄλλα διέξεισιν αὐτοῦ κατορθώματα, ἀτὰρ καὶ περὶ τῶνδε τοῦτον γράφων τὸν τρόπον·

8 Ἀλλ' ἔγνω ὅτι νόμοι σπουδαῖοι καὶ καλῶν ζῆλος ἐπι- p. 78 ΔΙΟΝΥΣΙΟΥ
[49] τηδευμάτων εὐσεβῆ καὶ σώφρονα καὶ τὰ δίκαια ἀσκοῦσαν καὶ τὰ πολέμια ἀγαθὴν ἐξεργάζονται πόλιν· ὧν πολλὴν ἔσχε πρόνοιαν, τὴν ἀρχὴν ποιησάμενος ἀπὸ τῶν περὶ τὰ θεῖα καὶ
2 δαιμόνια σεβασμῶν. Ἱερὰ μὲν οὖν, καὶ τεμένη, καὶ βωμοὺς, b
καὶ ξοάνων ἱδρύσεις, μορφάς τε αὐτῶν, καὶ σύμβολα, καὶ δυνάμεις, καὶ δωρεὰς, αἷς τὸ γένος ἡμῶν εὐηργέτησαν, ἑορτάς τε ὁποίας τινὰς ἑκάστῳ θεῶν ἢ δαιμόνων ἄγεσθαι προσήκει, καὶ θυσίας αἷς χαίρουσι γεραιρόμενοι πρὸς ἀνθρώπων, ἐκεχειρίας τε αὖ καὶ πανηγύρεις, καὶ πόνων ἀναπαύλας, καὶ πάντα τὰ τοιαῦτα ὁμοίως κατεστήσατο τῶν κρατίστων παρὰ τοῖς
3 Ἕλλησι νομίμων. Τοὺς δὲ παραδεδομένους περὶ αὐτῶν μύ-

d 3. τὰ κατὰ] τῷ κατὰ H. 4. Ῥωμύλον] ῥωμαῖον C. ῥωμαίων F.G. Ῥώμης] Ῥωμαίων πόλεως A.H.S.V. Mox αὐτοῦ διέξεισιν A.H. 5. τά τε] τάδε F. et G. pr. 6. ἄτε] ἀτὰρ B.C.E.F.G. αὐτὰρ D. περὶ τῶνδε] περὶ τῶν τόνδε B. ταὶ περὶ τῶνδε τόνδε C.F.G. τόνδε D. περὶ τῶνδε τούτων γραφέων H.

p. 78. 6. ἐξεργάζονται] ἐργάζονται H. 8. σεβασμῶν] σεβάσματα A.H. b. ἱδρύσεις] ἱδρύσις A. 3. αἷς τὸ γ.] ἃς εἰς τὸ γ. A.H. Mox καὶ ὁποίας D.F.G. τε καὶ om. S. 5. καὶ θυσίας] καὶ om. C.F.G. 6. ἐκεχειρίας] ἐκεχυρίας B. 8. κατεστήσαντο] κατεστήσατο A.C.F.G. H.S. Mox l. ex Dion. τοῖς κρατίστοις τῶν pro τῶν κρατίστων et sic S. 9. παραδεδομένους] παραδιδ. B. 10. περὶ] τε F.

quæ a Romulo principe urbis conditore gesta sint commemorat, cum alia pleraque laudat ab eo sapienter instituta, tum quæ ad susceptam hoc loco disputationem pertinent, ita prosequitur.

8 Romulus igitur, cum probe intelligeret, honestis legibus, rectorumque studiorum æmulatione, piam, temperatam, amantem æquitatis, belloque strenuam civitatem effici; præcipuam his in rebus operam curamque Dion. Hal. II. 18. p. 272, 10.
2 posuit, a religione cultuque deorum ac dæmonum auspicatus. Ac templa quidem et delubra, aras item, et simulacrorum suis in sedibus collocationes, eorundemque configurationes, et insignia, simulque vim numenque singulorum, atque adeo beneficia quibus hominum genus affecere, dies quoque festos quales deorum ac dæmonum cuilibet conveniunt, tum sacrificia quibus ab hominibus coli sese volunt, ferias denique, solennesque conventus, et statas a laboribus vacationes, ac cætera id genus ex optimis Græcæ fabulæ a Romanis repudiatæ.
3 quibusque Græcorum hominum ritibus instituit. At vero sparsas de

ΔΙΟΝΥ-ΣΙΟΥ

θους, ἐν οἷς βλασφημίαι τινές εἰσι περὶ αὐτῶν ἢ κατηγορίαι,
πονηροὺς καὶ ἀνωφελεῖς καὶ ἀσχήμονας ὑπολαβὼν εἶναι, καὶ c
οὐχ ὅτι τῶν θεῶν ἀλλ' οὐδ' ἀνθρώπων ἀγαθῶν ἀξίους, ἅπαν-
τας ἐξέβαλε, καὶ παρεσκεύασε τοὺς ἀνθρώπους τὰ κάλλιστα
περὶ θεῶν λέγειν τε καὶ φρονεῖν, μηδὲν αὐτοῖς προσανάψας
4 ἀνάξιον ἐπιτήδευμα τῆς μακαρίας φύσεως. Οὔτε γὰρ Οὐ-
ρανὸς ἐκτεμνόμενος ὑπὸ τῶν ἑαυτοῦ παίδων παρὰ Ῥωμαίοις
λέγεται, οὔτε ὁ Κρόνος ἀφανίζων τὰς ἑαυτοῦ γονὰς φόβῳ
τῆς ἐξ αὐτῶν ἐπιθέσεως, οὔτε Ζεὺς καταλύων τὴν Κρόνου
δυναστείαν, καὶ κατακλείων ἐν τῷ δεσμωτηρίῳ τοῦ Ταρτάρου d
τὸν ἑαυτοῦ πατέρα· οὐδέ γε πόλεμοι, καὶ τραύματα, καὶ
5 δεσμὰ, καὶ θητεῖαι θεῶν παρὰ ἀνθρώποις. Ἑορτή τε οὐδε-
μία παρ' αὐτοῖς μελανείμων ἢ πένθιμος ἄγεται, κοπετοὺς
ἔχουσα καὶ θρήνους γυναικῶν ἐπὶ θεοῖς ἀφανιζομένοις, ἃ παρ'
Ἕλλησιν ἐπιτελοῦνται περί τε Περσεφόνης ἁρπαγὴν, καὶ
6 Διονύσου πάθη, καὶ ὅσα ἄλλα τοιαῦτα. Οὐδ' ἂν ἴδοι τις
παρ' αὐτοῖς, καί τοι διεφθαρμένων τῶν ἐθῶν ἤδη, οὐ θεοφο-

b 10. ἐν οἷς] ἐν αἷς H. 11. ἢ] καὶ F. c 2. τῶν θ.] τῶν om. F. 3. ἐξέβαλε καὶ παρεσκ.] ἐξέβαλε παρεσκεύασέν τε τοὺς A.H. ἐξέβαλλε D. 5. τε καὶ] δὲ καὶ F. προσάπτοντας S. 7. οὐρανὸς om. C.F.G. 8. οὔτε ὁ] ὁ om. B.D.F.G.H. 10. ἐπιθέσεως] κινήσεως D. suprasc. ἐπιθέσεως. 11. δυναστείαν om. A. δύναμιν H.V. γρ. S. d. ἐν τῷ δεσ.] αὐτῷ S. 2. δεσμὰ] δεσμοὶ A.S. 3. θητεῖαι] τηθεῖαι D. 4. ἑορτὴ δὲ] ἑορτή τε A.H.S. 5. τελεῖται] ἄγεται A.H.V.S. Tum τυπετοὺς H. cum κοπετοὺς in marg. 6. ἅπερ] ἃ παρ' F.V. et γρ. S. 7. Περσεφόνης] φερσεφόνης D. Supra ἐπιτελεῖται H.S. 8. περὶ Διον.] περὶ om. A.B.C.E.F.G.H. τὰ Διον. S. 9. ἄλλα om. C.F.G. 10. θεῶν in marg. ἐθῶν D. θεῶν ed. Steph. et A.B.C.F.G.

iisdem vulgatasque fabulas, quibus aliqua ipsorum vel probra, vel crimina
continentur, improbas, inutiles, ac fœdas esse ratus, nec diis modo, sed
etiam viris bonis prorsus indignas, rejectis omnibus, homines ad optime
de diis loquendum ac sentiendum informavit, nullum iis studium beata
4 natura minus dignum affingens. Nec enim a Romanis aut exsectus libe-
rorum suorum manu Cœlus fuisse, aut Saturnus quod sibi ab eorum
impetu male metueret, suos confecisse; aut Jupiter spoliatum imperio
patrem in Tartareum carcerem inclusisse dictitatur: nec ulla numinum
bella, vulnera, vincula, nec locatam hominibus operam ex illis audias.
5 Imo, nullum quoque apud eos atratum ac lugubre festum agitur, in quo
sublatos e medio deos planctibus et lamentis mulierculæ prosequantur,
cujusmodi a Græcis vel ob Proserpinæ raptum, vel ob exitialem Bacchi
6 sortem, similesque casus, solenni ritu celebrari solent. Non denique, vel
collapsis hoc tempore moribus patriis, homines videas a numine agitatos,

ΔΙΟΝΥ-ΣΙΟΥ

ρήσεις, οὐ κορυβαντιασμοὺς, οὐ βακχείας καὶ τελετὰς ἀπορ-
ρήτους, οὐ διαπαννυχισμοὺς ἐν ἱεροῖς θεῶν ἀνδρῶν σὺν γυ-
ναιξὶν, οὐκ ἄλλο τῶν παραπλησίων τούτοις τερατευμάτων
οὐδέν· ἀλλ' εὐλαβῶς ἅπαντα πραττόμενα καὶ λεγόμενα τὰ
περὶ τοὺς θεοὺς, ὡς οὔτε παρ' Ἕλλησιν, οὔτε παρὰ βαρβά- p. 79
7 ροις. Καὶ ὃ πάντων μάλιστα ἔγωγε τεθαύμακα, καίπερ
μυρίων ὅσων εἰς τὴν πόλιν ἐπεληλυθότων ἐθνῶν, οἷς πολλὴ
ἀνάγκη σέβειν τοὺς πατρίους θεοὺς τοῖς οἴκοθεν νομίμοις,
οὐδενὸς εἰς ζῆλον ἐλήλυθε τῶν ξενικῶν ἐπιτηδευμάτων ἡ πό-
λις δημοσίᾳ, ὃ πολλοῖς ἤδη συνέβη παθεῖν· ἀλλὰ καὶ εἴ τινα
κατὰ χρησμοὺς ἐπεισῆκται ἱερὰ, τοῖς αὐτόθι αὐτὰ νομίμοις
μεθήρμοσεν, ἅπασαν ἐκβαλοῦσα τερθρείαν μυθικὴν, ὥσπερ
8 τὰ τῆς Ἱερᾶς Θεᾶς ἱερά. Θυσίας μὲν γὰρ αὐτῇ καὶ ἀγῶνας
ἄγουσιν ἀνὰ πᾶν ἔτος οἱ στρατηγοὶ κατὰ τοὺς Ῥωμαίων b
νόμους· ἱερᾶται δ' αὐτῆς ἀνὴρ Φρὺξ καὶ γυνὴ Φρυγία, καὶ

d 11. κορυβαντιασμοὺς] ἐκστάσεις φρενῶν καὶ μανίας ἃς ἐνθουσιασμοὺς καὶ κατακωχὰς ὀνομάζουσιν A. in marg. κορυβαντισμοὺς D. βακχίας] βακχείας A.B.C.F.G.S. 12. διαπαννυχιασμοὺς] διαπαννυχισμοὺς A.S. 13. θεῶν om. S. ult. καὶ λεγόμενα τὰ om. A.H. τε καὶ λεγόμ. S. Tum τοὺς θεοὺς A.D.H.

p. 79. 3. ἐπεληλυθ.] παρεληλυθ. D. 5. τοῖς οἴκοθεν] τῶν οἰκ. B. 7. ὃ πολλοῖς] δὲ π. A. ὃ πολλαῖς S. qui mox ἐπεισηγάγετο. 8. καὶ εἴ τινα] καὶ ἐκεῖνα ἃ A. 9. νομίμως] νομίμοις A.B.C.F.G.H.V. In una ora H St. " Saltem νομίμοις," in altera, τοῖς ἑαυτῶν αὐτὰ τιμᾷ νόμοις, ἅπασαν ἐκβάλλουσαι τερθρείαν S. 10. τερθρείας] τερθρείαν A.B.C.D.F.G.H. 11. Ἱερᾶς] ἰδίας (δῖαι potius H St.) S. b. δ' αὐτῆς] αὖ αὐτῆς H.

non insanas Corybantum jactationes, non Bacchanalia, et arcana mysteriorum initia, non virorum cum mulieribus in deorum templis nocturnas pervigilationes, nec hujusmodi reliqua monstrorum similia: sed quicquid ad religiones et sacra deorum pertinet, sanctitate ac modestia longe
7 omnibus tam Græcorum, quam barbarorum ceremoniis antecellit. Quodque omnium maxime soleo mirari, licet infinitæ nationes in urbem confluxerint, quæ ad colenda ritu domestico patria numina vi quadam et necessitate compellantur, nunquam illa tamen ad suscipiendum publice ullum peregrinæ religionis genus adduci potuit, id quod jam aliis plerisque contigisse novimus. Quod si aliqua forte istiusmodi sacra ex oraculorum responsis apud se invehi passa est, ea tamen ad legum suarum instituta accommodavit, rejectis omnibus fabularum præstigiis, quemadmodum in
8 Matris Idææ sacris videmus. Enimvero sacrificia quidem ludosque publicos Romano ritu prætores quotannis in ejus honorem instituunt; ejus tamen sacerdotio vir ac mulier Phryges ambo funguntur, qui totam civitatem circumeunt, singulis mensibus stipem more suo hinc inde corrogantes,

ΔΙΟΝΥΣΙΟΥ

περιάγουσιν ἀνὰ τὴν πόλιν οὗτοι μηναγυρτοῦντες, ὥσπερ
αὐτοῖς ἔθος, τύπους τε περικείμενοι τοῖς στήθεσι, καὶ καταυ-
λούμενοι πρὸς τῶν ἑπομένων τὰ Μητρῷα μέλη, καὶ τύμπανα
9 κροτοῦντες. Ῥωμαίων δὲ τῶν αὐθιγενῶν οὔτε μηναγυρτῶν
τις οὔτε καταυλούμενος πορεύεται διὰ τῆς πόλεως, ποικίλην
ἐνδεδυμένος στολὴν, οὔτε ὀργιάζων τὴν θεὸν [οὐδὲ] τοῖς
Φρυγίοις ὀργιασμοῖς κατὰ νόμον ἢ ψήφισμα βουλῆς. Οὕ- c
τως εὐλαβῶς ἡ πόλις ἔχει πρὸς τὰ οὐκ ἐπιχώρια ἔθη περὶ
θεῶν, καὶ πάντα ὀττεύεται τῦφον ᾧ μηδέν ἐστι τὸ εὐπρεπές.
10 Καὶ μηδεὶς ὑπολάβῃ με ἀγνοεῖν, ὅτι τῶν Ἑλληνικῶν μύθων
εἰσί τινες ἀνθρώποις χρήσιμοι· οἱ μὲν ἐπιδεικνύμενοι τὰ τῆς
φύσεως ἔργα διὰ λύπην, οἱ δὲ παραμυθίας ἕνεκα συγκείμενοι
τῶν ἀνθρωπίνων συμφορῶν, οἱ δὲ ταραχὰς ἐξαιρούμενοι ψυ-
χῆς καὶ δείματα, καὶ δόξας καθαιροῦντες οὐχ ὑγιεῖς, οἱ δὲ d
11 ἄλλης τινὸς ἕνεκα συμπλασθέντες ὠφελείας. Ἀλλὰ καίπερ

b 3. μηναγυρτοῦντες] μηνανετοῦντες C. μητραγ. Dionys. S. μηναρτοῦντες F. 5. καὶ καταυλ.] καὶ om. C.F.G. 7. αὐτόθι γενῶν D. 8. καταυλούμενος] καταυχούμενος B. 9. ἐνδεδυμένος] ἐνδεδυκὼς S. credo ex Dion. 10. ὀργιάζων τὴν θεὸν] ὀργιάζειν τοῖς Φρ. B.S. ὀργιάζει οὐδὲ τοῖς Φ. C.F.G. ὀργιάζει D. et mox τόν. ὀργιάζειν τὴν θεὸν τοῖς H. c 2. τὰ οὐκ] οὐκ om. B.C.D.F.G. 3. ὀττεύεται μῦθον ᾧ] ὀπεύεται τύφον οὗ A.H. τύφον item V.S. Dion. Tum μηθὲν B. qui om. ὀττεύεται. μὴ πρόσεστι S. Dion. pro μηδέν ἐστι. εὐπρεπές] τὸ εὐπ. A.B.C.F.G.H. 4. μηδεὶς ὑπολάβοι] μήτις ὑπολάβῃ A.H. μ. ὑπολάβῃ B.C. ὑπολάβει . . μή D. ὑπολάβῃ F.G. 5. χρήσιμοι ἀνθ.] ἀνθ. χρ. A.H. 7. διὰ λύπην] δι' ἀλληγορίας S. ni fallor ex Dionys. 8. συγκείμενοι—τινὸς ἕνεκα om. B. ἀνθρωπείων S. 10. δείγματα] δείματα A.C.H.S. d. συμπλασθέντες] συμπλησθέντες B.C. ἄλλοι S. pro ἄλλης.

imagunculas pectori alligatas gestantes, tympanaque pulsantes, quos se-
9 quens multitudo Materna carmina ad tibiam modulata circumsonat. At e
Romanis indigenis nemo vel Matri stipem emendicans, vel incentione
tibiarum afflatus ac versicolore stola indutus oberrat urbem, nullaque
populi lege, nullo senatusconsulto celebranda Phrygio ritu Matris orgia
suscipit. Tantam urbs in peregrino deorum cultu cautionem adhibet,
adeoque fabulam omnem dignitate et honestate vacuam mali ominis instar
10 aversatur. Neque vero me nescire quisquam existimet, nonnullas Græco-
rum fabulas aliquid hominibus utilitatis afferre, sive naturæ opera latente
verborum sensu repræsentent, sive ad mitigandas humanorum casuum
molestias confictæ fuerint, sive ad tollendas animorum perturbationes,
metusque levandos, sive ad minus sanas opiniones revellendas, sive alte-
11 rius cujuscunque commoditatis gratia compositæ. Verum, licet ista æque

ἐπιστάμενος ταῦτα οὐδενὸς χεῖρον, ὅμως εὐλαβῶς διάκειμαι ΔΙΟΝΥΣΙΟΥ
πρὸς αὐτούς, καὶ τὴν Ῥωμαίων μᾶλλον ἀποδέχομαι θεολο-
[50] γίαν· ἐνθυμούμενος ὅτι τὰ μὲν ἐκ τῶν Ἑλληνικῶν μύθων
ἀγαθὰ μικρά τε ἐστὶ καὶ οὐ πολλοὺς δυνάμενα ὠφελεῖν, ἀλλὰ
12 μόνον τοὺς ἐξητακότας ὧν ἕνεκα γίνεται. Σπάνιοι δ' εἰσὶν
οἱ μετειληφότες ταύτης τῆς φιλοσοφίας· ὁ δὲ πολὺς καὶ
ἀφιλοσόφητος ὄχλος ἐπὶ τὰ χείρω λαμβάνειν φιλεῖ τοὺς
περὶ αὐτῶν λόγους, καὶ πάσχει θάτερον, ἢ καταφρονεῖ τῶν
θεῶν, ὡς ἐν πολλῇ κακοδαιμονίᾳ κυλινδουμένων, ἢ τῶν αἰσχί-
στων τε καὶ παρανομωτάτων οὐδενὸς ἀπέχεται, θεοῖς ὁρῶν p. 80
13 αὐτὰ προσκείμενα. Ἀλλὰ ὑπὲρ μὲν τούτων τοῖς αὐτὸ μόνον
τὸ θεωρητικὸν τῆς φιλοσοφίας μέρος ἀσκοῦσιν ἀφείσθω
σκοπεῖν· τῆς δὲ ὑπὸ Ῥωμύλου κατασταθείσης πολιτείας καὶ
τάδε ἡγησάμην ἱστορίας ἄξια.

Τὰ μὲν δὴ παραστάντα τοῖς κρατίστοις τῶν φιλοσόφων καὶ τοῖς παλαιοῖς καὶ πρώτοις τῆς Ῥωμαίων ἡγε-

d 2. ἐπιστάμενος] ἐπιστάμενοι D. 4. διάκειμαι] διακείμενοι B. 6. ὅτι τὰ μὲν ἐκ τῶν Ἑλληνικῶν] ὅτι τὰ Ἑλληνικὰ ἀγαθὰ B. ὅτι τὰ τῶν Ἑλλην. C. Ἑλλήνων A. pro Ἑλληνικῶν. μὲν ἐκ om. D.F.G. 7. πολλοὺς] πολλὰ D. πολλῇ F. 8. ἀλλὰ μόνον om. S. 12. αὐτῶν] αὐτὸν B. 13. καταφρονεῖν] καταφρονεῖ B.C.F.H. Supra πάσχειν δυοῖν S.

p. 80. 1. ἀπέχεται] ἀπέχεσθαι S. 2. ἀλλὰ περὶ] ἀλλ' ὑπὲρ A.H.S. 3. θεωρητικὸν] θεωρητὸν F.G. φιλοσοφίας μέρος ἀσκοῦσιν] φ. ἀσκούσης B.C.F.G. ἀποτετμημένοις pro ἀσκοῦσιν S. f. ex Dionys. 9. τῆς Ῥωμ.] Ῥωμ. τῆς A.H. τῶν Ῥωμ. F.

norim, ac quivis alius, in ejusmodi tamen fabulis magna semper cautione opus esse arbitror, eoque libentius Romanorum theologiam approbo, mecum ipse reputans, exigua admodum illa esse bona quæ Græcis fabulis continentur, quæque non ad plures, sed tantum ad eos pertinere possint, qui quem in scopum ipsæ collineent, diligenter accurateque perspexerint.
12 Enimvero, cum pauci admodum illi sunt, quibus hanc ad philosophiam aditus pateat, tum sane rudis et imperita multitudo vulgares istos de diis sermones deteriorem in partem interpretari solet, atque in alterum e duobus incidit, ut vel deos aspernetur tot ac tantis miseriarum fluctibus jactatos, vel nullum flagitii scelerisque genus cavendum sibi ac declinan-
13 dum putet, cum ex diis ipsis usque adeo familiaria fuisse videat. Verum ista hominibus iis, qui ad solam philosophiæ partem quæ est in contemplatione posita adhæsere, diligentius expetenda relinquimus: ego vero, hæc etiam quæ reipublicæ a Romulo institutæ propria sunt, digna quæ memoriæ proderentur putavi.

Hactenus Dionysius.

Ejusmodi non modo summorum philosophorum, sed ipsorum quoque Romani imperii fundatorum ac principium, de Græcorum

μονίας περὶ τῆς Ἑλληνικῆς θεολογίας τοιαῦτα ἦν, οὐδαμῶς φυσιολογίας ἐν τοῖς περὶ θεῶν μύθοις παραδεχό- b
μενα, οὐδέ γε τὰς σεμνοφανεῖς καὶ σοφιστικὰς τερθρείας. Ἡμεῖς γε μὴν ἐπείπερ ἅπαξ ὡρμήθημεν καὶ ἐπὶ τὸν τούτων ἔλεγχον, φέρε τὰς ἑρμηνείας αὐτῶν καὶ θεωρίας, τί ποτε ἄρα σεμνὸν καὶ θεοπρεπὲς ἐπικομίζονται, κατίδωμεν· μηδὲν μὲν ἐξ ἡμῶν, πάντα δὲ ταῖς αὐτῶν φωναῖς συγχρώμενοι, ὡς ἂν παρ' αὐτῶν αὖθις τὰ αὐτῶν οἰκεῖα καταμάθωμεν.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ. p. 82 b

[51] ΠΡΟΟΙΜΙΟΝ.

Τὰ μὲν παραστάντα τοῖς κρατίστοις τῶν φιλοσόφων καὶ τοῖς παλαιοῖς καὶ πρώτοις τῆς Ῥωμαίων ἡγεμονίας περὶ τῆς Ἑλληνικῆς θεολογίας τοιαῦτα ἦν, οὐδαμῶς φυσιολογίας ἐν τοῖς περὶ θεῶν μύθοις παραδεχόμενα, c

b 4. ἐπὶ καὶ τὸν] καὶ ἐπὶ τὸν A.B.H. καὶ om. C.D.F.G. 7. κατίδωμεν] συνίδωμεν A.H.S.V. 8. αὐτῶν] αὐταῖς B.

p. 82. b 3. Προοίμιον om. A.B.H. 7. τῆς τῶν Ῥωμαίων H. 9. θεολογίας] φυσιολογίας (θεο above) B. Mox φυσιολόγως D. c. ἐν τοῖς om. A. qui mox μύθους pro μύθοις. ἐν om. H.

hominum theologia judicium fuit: ex quo intelligimus, nusquam eos novam istam in fabulis deorum evolvendis physiologiam probare voluisse: tantum abest, ut sophisticis quibusdam præstigiis, et dignitatis ad speciem compositis januam aperirent. Sed quoniam semel istorum quoque vanitatem sponte redarguendam suscepimus, age quid præclari tandem numinibusque digni eorum interpretationes et commentationes afferant, videamus: sic tamen nihil ut ore loquamur nostro, sed omnia ipsissimis eorum verbis concepta producamus, suaque rursus ab iis mysteria doceamur.

LIBER TERTIUS.

PROŒMIUM.

Ejusmodi quidem non modo summorum philosophorum, sed ipsorum quoque Romani imperii fundatorum ac principum, de Græcorum hominum theologia judicium fuit, ex quo intelligimus, nusquam eos novam istam in fabulis deorum evolvendis physiologiam

οὐδέ γε τὰς σεμνοφανεῖς καὶ σοφιστικὰς τερθρείας.
2 Ἡμεῖς γε μὴν ἐπείπερ ἅπαξ ὡρμήθημεν καὶ ἐπὶ τὸν
τούτων ἔλεγχον, φέρε τὰς ἑρμηνείας αὐτῶν καὶ θεωρίας,
τί ποτε ἄρα σεμνὸν καὶ θεοπρεπὲς ἐπικομίζονται, συνί-
δωμεν, μηδὲν μὲν ἐξ ἡμῶν, πάντα δὲ ταῖς αὐτῶν φωναῖς
συγχρώμενοι· ὡς ἂν παρ' αὐτῶν αὖθις τὰ αὐτῶν σεμνὰ
καὶ ἀπόρρητα καταμάθωμεν.
3 Μυρίοις μὲν οὖν ἄλλοις τῶν φιλοσοφεῖν ἐπαγγελλο-
μένων πολὺς περὶ τούτων εἴσηκται πόνος, διαφόρους d
τὰς αὐτῶν εὑρεσιολογίας πεποιημένοις, καὶ τὸ παρα-
στὰν καὶ δόξαν ἑκάστῳ τοῦτ' εἶναι τὸ ἀληθὲς ἀπισχυρι-
ζομένοις· ἐμοὶ δὲ ἐξαρκεῖ τὰς ἀποδείξεις ἀπὸ τῶν μά-
λιστα διαφανῶν καὶ πᾶσι τοῖς φιλοσόφοις γνωρίμων
κλέος τε οὐ μικρὸν φιλοσοφίας παρ' Ἕλλησιν ἀπενη-
4 νεγμένων παρασχεῖν. Ὧν πρῶτον λαβὼν ἀνάγνωθι τοῦ

c 2. σεμνοφανεῖς] κενοφανεῖς C.F.G. 3. ὡρμήθημεν ἐπὶ] ἅπαξ ὡρ. καὶ ἐπὶ A.B.C.F.G.H. ὡ. καὶ ἐπὶ E. 6. συνίδωμεν] συνκατίδωμεν B. Mox μὲν om. A.H. 9. καταμάθωμεν] καταμάθοιμεν A.H. μάθωμεν B.E. 10. φιλοσοφεῖν] φιλοσόφων B.C.F.G. Supra καὶ ἄλλοις D E.F.G. d. διαφόρους] διαφόρως C.F.G. τὰς αὐτῶν εὑρεσιολ.] τῶν αὐτῶν εὑρησιλ. A.B.H. εὑρεσιλογ. F.G. 3. τὸ ἀληθὲς] τὸ om. A.H. ἀπισχυριζομένοις] ἐπισχ. A.C. ἀπαχ. F. 7. ἀπενηνεγμένοι H. 8. πρῶτον] πρώτου A.

probare voluisse, tantum abest, ut sophisticis quibusdam præstigiis,
2 et dignitatis ad speciem compositis januam aperirent. Sed quoniam
semel istorum quoque vanitatem sponte redarguendam suscepimus,
age quid præclari tandem numinibusque digni, eorum interpreta-
tiones et commentationes afferant, videamus; sic tamen nihil ut ore
loquamur nostro, sed omnia ipsissimis eorum verbis concepta produ-
camus, suaque ab iis etiam recondita speciosæ gravitatis mysteria
3 doceamur. Ac sexcenti quidem alii, qui sese philosophari profiten-
tur, multum hoc in genere laboris et operæ consumpserunt, dum
sua quisque a cæteris dissidentia commenta profert, quodque ingenio
suo placuerit, id purum putumque verum esse confirmat: mihi tamen
satis fuerit, certas perspicuasque probationes ex clarissimis quibusque
ac philosophorum vulgo notissimis, et eximia quadam apud Græcos
4 philosophiæ laude florentibus arcessere. Tu ergo Plutarchum illum

2 Quippe videbat enim, qui solem universi architectum esse dicerent, ab illis non ea tantum quæ ad Osiridem Isidemque pertinent, sed etiam quicquid sacrarum fabularum erat, partim in stellas, et earum aspectus, occultationes, ortusque devolvi, partim in lunæ modo crescentis, modo senescentis varietatem, partim in solis cursum, ac vel in diurnum, vel in nocturnum hemisphærium, vel in Nilum ipsum fluvium, cuncta denique in res naturales, nihil in corporea mole carentes viventesque naturas, ipsarum interpretatione conferri. Atque istorum etiam plerique, quod in nostra voluntate est ac potestate situm, ex siderum motu suspensum esse voluerunt, cuncta necessitate, quod ipsi fatum appellant, sic tanquam inexplicabilibus quibusdam vinculis nescio quo pacto constringentes, eademque rursus ad deorum istorum vim ac

τῆς εἱμαρμένης μόνους ἔν τε ἱεροῖς καὶ ξοάνοις καὶ τοῖς ἄλλοις θεραπεύουσι. ΠΟΡΦΥΡΙΟΥ

3 Ταῦτα μὲν οὖν ἀπὸ τῆς δηλωθείσης ἐπιστολῆς κείσθω, σαφῶς διαγορεύοντα ὅτι καὶ ἡ τῶν Αἰγυπτίων ἀπόρρητος θεολογία οὐδὲ ἄλλους πλὴν τῶν κατ' οὐρανὸν ἀστέρων τῶν τε ἀπλανῶν καλουμένων καὶ τῶν ὀνομαζομένων πλανητῶν ἐθεολόγει, δημιουργόν τε τῶν ὅλων p. 93
εἰσῆγεν οὐτιναοῦν ἀσώματον, οὐδὲ λόγον δημιουργικὸν, οὐδὲ μὴν θεὸν, οὐδὲ θεοὺς, οὐδέ τινας νοερὰς καὶ ἀφανεῖς δυνάμεις, μόνον δὲ τὸν ὁρώμενον ἥλιον· διὸ καὶ μόνοις τοῖς ἄστροις τὴν τῶν ὅλων ἀνετίθεσαν αἰτίαν, τὰ πάντα εἱμαρμένης ἐξάπτοντες καὶ τῆς τῶν ἄστρων κινήσεώς τε καὶ φορᾶς, ὥσπερ ἀμέλει εἰσέτι καὶ νῦν ἤδε παρ' αὐτοῖς
4 κεκράτηκεν ἡ δόξα. Εἰ τοίνυν εἰς μόνα τὰ ὁρώμενα b
τοῦ κόσμου στοιχεῖα καὶ οὐδὲν εἰς ἀσωμάτους καὶ ζώσας οὐσίας ἡρμήνευται τοῖς Αἰγυπτίοις, τὰ δὲ στοιχεῖα καὶ πάντα τὰ ὁρατὰ σώματα τῷ ἰδίῳ λόγῳ ἄψυχα καὶ

d 8. *μόνους* om. C. ante *τῆς εἱμ.* F.G. Supra *λύτωρας* D. 12. *ἐπίρρητος*] *ἀπόρρητος* A.C.D.E.H. *γρ.* S. pen. *τῶν κατ'*] *καὶ τῶν κατ'* B. ult. *ἀπλανῶν καλ. καὶ τῶν ὀνομ. πλανητ.*] *ἀπλανῶν ὀνομαζομένων καὶ τῶν πλανητῶν καλουμένων* A.H.

p. 93. 2. *οὐτιναοῦν*] *οὔτινα νοῦν* C.F.G. 3. *δημιουργικὸν*] *δημιουργὸν* D. 10. *μόνον*] *μόνα* A.B.C.D.F.G.

numen alligantes. Itaque non alios sive in templis, sive in simulacris, sive in aliis ejusmodi, quam qui fati leges solvunt, venerantur.

3 Atque hæc a nobis ex laudata Porphyrii epistola producta sunto, quæ profecto manifeste declarant, ne arcanam quidem ipsam Ægyptiorum theologiam præter cœli stellas, tum quæ constantes ac fixæ, tum quæ errantes vulgo nominantur, alios ullos deorum in numero collocasse, imo nec corporis expertem aliquem hujus universitatis architectum statuisse, nec rationi effectrici, nec deo diisve ullis, aut intelligentibus quibusdam ac sub oculos minime cadentibus naturis, sed uni duntaxat aspectabili soli ejus molitionem tribuisse. Itaque solis astris rerum universarum caussam assignarunt, ex fati necessitate, siderumque motu et agitatione cuncta suspendentes; quæ qui-
4 dem opinio apud illos hodieque vim retinet suam. Nunc ergo, cum et tota Ægyptiorum interpretatio non jam in corpore liberas viventesque naturas, sed in ea tantum quæ quotidie cernuntur mundi

ἄλογα ῥευστά τε τῇ φύσει καὶ φθαρτὰ συνέστηκε, θέα εἰς οἷα πάλιν αὐτῶν καταπέπτωκεν ἡ θεολογία, τὴν ἄψυχον οὐσίαν καὶ τὰ νεκρὰ καὶ ἄλογα σώματα θειάζουσα, μάλιστα ὅτε εἰς ἀσωμάτους καὶ νοερὰς οὐσίας οὐδὲν αὐτοῖς ἀνεφέρετο, οὐδὲ ἐπὶ νοῦν καὶ λόγον δημιουργικὸν τῶν ὅλων. Ἐπεὶ δὲ προωμολογήθη διὰ c τῶν πρόσθεν εἰς Ἕλληνας παρ' Αἰγυπτίων τὰ τῆς θεολογίας μετακεκομίσθαι, ὥρα τούτοις στοιχεῖν καὶ Ἕλληνας, καὶ τὰ αὐτὰ Αἰγυπτίοις φυσιολογεῖν, ἀπελέγχεσθαί τε αὐτοὺς οὐδὲν πλέον τῆς ἀψύχου ὕλης θεοποιοῦντας. Ταῦτα γὰρ ἦν τὰ σεμνὰ Αἰγυπτίων κατὰ τὴν τοῦ δεδηλωμένου συγγραφέως γραφὴν, ὅς τις πάλιν ἐν οἷς ἐπέγραψε Περὶ τῆς τῶν ἐμψύχων ἀποχῆς τοιαῦτα περὶ τῶν αὐτῶν διέξεισιν·

b 5. ῥευστά τε—τῶν ὅλων om. B. τὴν φύσιν] φύσει C.D.F.G. τῇ φύσει H. Mox συνέστηκεν A.C.F.H. γρ. S.V. ἀνέστηκε G. Tum πάλιν εἰς οἷα C.F.G. 7. τὴν ἄψ.] εἰς ἄψ. A.H. 8. ἄψυχα] ἄλογα C.D.F.G. 9. ὅτε] τότε A. c. πρόσθεν] ἔμπροσθεν D. 2. μετακεκομίσθαι] μετακομίσαι A.H. γρ. S.V. μετεκομίσθη D. μετακεκομῆσθαι E. 4. ἀπελέγχεσθαι] ἀπελέγχεσθαι H. 6. γὰρ ἦν] γὰρ καὶ H. 7. τοῦδε δη.] τοῦ δεδη. B.C. Mox συγγραφὴν D. 9. τῆς τῶν] τῆς om. F.

hujus elementa conferatur, et elementa ista sine animo, sine ratione, ac fluxæ pereuntisque naturæ, peculiari quadam certaque fuerint ratione procreata: vide porro quonam delapsa sit hominum istorum theologia, quæ naturam mentis expertem, mortuaque et ab omni sensu vacua corpora numinum instar consecrarit, præsertim cum nihil prorsus ab iisdem vel ad spirituales intelligentesque naturas, vel ad mentem ipsam atque rationem rerum procreatricem omnium referretur. Cum autem ex iis quæ ante a nobis allata sunt, tanquam certum et confessum habeamus, ab Ægyptiis ad Græcos traducta fuisse theologiæ mysteria, tempus utique est, ut eorum ad classem Græcos etiam ipsos aggregemus, illosque nec diversam ab Ægyptiis philosophandi rationem habuisse, nec præter inanimam quandam materiam ulli omnino rei divinitatem dedisse convincamus. Ista quippe erant augusta Ægyptiorum numina, quemadmodum ille ipse, quem paulo ante citavi, Porphyrius auctor est, dum in iis quos de fugiendo rerum animatarum esu conscripsit, de iisdem hunc in modum loquitur:

ΠΟΡΦΥΡΙΟΥ

6 Ἀπὸ δὲ ταύτης ὁρμώμενοι τῆς ἀσκήσεως καὶ τῆς πρὸς τὸ θεῖον οἰκειώσεως ἔγνωσαν, ὡς οὐ δι' ἀνθρώπου μόνου τὸ θεῖον d διῆλθεν, οὔτε ψυχὴ ἐν μόνῳ ἀνθρώπῳ ἐπὶ γῆς κατεσκήνωσεν, ἀλλὰ σχεδὸν ἡ αὐτὴ διὰ πάντων διῆλθε τῶν ζώων. Διὸ εἰς τὴν θεοποιίαν παρέλαβον πᾶν ζῶον, καὶ ὁμοίως που ἀνέμιξαν θηρία καὶ ἀνθρώπους, καὶ πάλιν ὀρνέων σώματα καὶ ἀνθρώ-
7 πων. Εἴκασται γάρ τις παρ' αὐτοῖς μέχρι τραχήλου ἀνθρωποειδής, τὸ δὲ πρόσωπον ὀρνέου ἢ λέοντος ἢ ἄλλου τινὸς ζώου κεκτημένος· καὶ πάλιν αὖ κεφαλὴ ἀνθρώπειος, καὶ ἄλλων τινῶν ζώων μέρη, πῇ μὲν ὑποκείμενα, πῇ δὲ ἐπικείμενα· δι' ὧν δηλοῦσιν ὅτι κατὰ γνώμην θεῶν καὶ ταῦτα ἀλλήλοις κοινωνεῖ, καὶ σύντροφα ἡμῖν καὶ τιθασά ἐστι τῶν θηρίων τὰ p. 94
8 ἄγρια οὐκ ἄνευ τινὸς θείας βουλήσεως. Ὅθεν καὶ ὁ λέων ὡς θεὸς θρησκεύεται, καὶ μέρος τι τῆς Αἰγύπτου, ὃ καλοῦσι Νόμον, ἐπώνυμον ἔχει Λεοντοπολίτην, ἄλλο δὲ Βουσιρίτην, καὶ ἄλλο Κυνοπολίτην. Τὴν γὰρ ἐπὶ πάντα δύναμιν διὰ

c 10. ἀπὸ δὲ] Πορφυρίου A. in marg. τοῦ αὐτοῦ C. ὁρμώμενοι] ὡρμημένοι H. d 2. οὔτε] οὐδὲ A.H. οὔτε ἡ C.D.G. 4. ἦλθε] διῆλθε A.B. C.F.G.H. 7. εἴκασται—βουλήσεως om. B. τις παρ' αὐτ.] παρ' αὐτ. τις C.F.G. 12. πῇ δ' ἐπικείμενα om. C.H. ult. τιθασά] τιθασσά A.C. ed. Viger.

p. 94. βίας D. 4. Λεοντοπολίτην] λεοντόπολεν C.F.G. Βουσιρίτην] βουσινίτην H. et om. καὶ. 5. καὶ ἄλλο] ἄλλο δὲ A.B.F.G.

Porph. Abst. IV. 9.

6 Illi autem ab hoc exercitationis genere, et inita cum divino numine familiaritate progressi, neque divinitatem solum hominem permeare, neque in terris animum solo in homine domicilium suum posuisse, sed unum eundemque omnia prope animantia pervasisse agnoverunt. Itaque in effingendis consecrandisque numinum simulacris, omni genere animalium usi, feras aliquando cum hominibus una miscuere, aliquando avium pariter
7 hominumque corpora conjunxere. Videas enim apud ipsos imagines quasdam cervice tenus humana specie, vultu autem modo volucrem, modo leonem, aut aliud quodvis animal referentes: aliasque rursum capite quidem hominum similes, reliquis vero partibus corporis modo inferioribus, modo superioribus, aliarum animantium formam ostendentes. Quibus illi significatum volunt, et deorum ipsorum voluntate consilioque fieri, ut illa inter sese mutuo degant, nec sine eorundem numine evenire, ut feræ immanesque belluæ non cicurentur modo, sed nobiscum etiam aliqua vitæ societate
8 conjungantur. Itaque ab iis leo tanquam deus colitur, Ægyptique pars aliqua, præfecturam ipsi vocant, ejus cognomento Leontopolites; alia Busirites, a bove, alia Cunopolites a cane nuncupatur. Enimvero sic illi summam in res omnes dei potestatem, quam per animantes natura secum

ΠΟΡΦΥΡΙΟΥ

τῶν συννόμων ζώων, ὧν ἕκαστος τῶν θεῶν παρέσχεν, ἐθρή-
9 σκευσαν. Ὕδωρ δὲ καὶ πῦρ σέβονται, τὰ κάλλιστα τῶν
στοιχείων, ὡς ταῦτα αἰτιώτατα τῆς σωτηρίας ἡμῶν, καὶ
ταῦτα δεικνύντες ἐν τοῖς ἱεροῖς, ὥς που ἔτι καὶ νῦν ἐν τῇ
ἀνοίξει τοῦ ἁγίου Σαράπιδος ἥ τε θεραπεία διὰ πυρὸς καὶ b
ὕδατος γίνεται, λείβοντος τοῦ ὑμνῳδοῦ τὸ ὕδωρ, καὶ τὸ πῦρ
φαίνοντος, ὁπηνίκα ἑστὼς ἐπὶ τοῦ οὐδοῦ τῇ πατρίῳ τῶν
10 Αἰγυπτίων φωνῇ ἐγείρει τὸν θεόν. Ταῦτ' οὖν σέβονται τὰ
[58] μέτοχα, καὶ μάλιστα πλέον τούτων ἐσέφθησαν τὰ ὡς ἐπὶ
πλέον τῶν ἱερῶν μετέχοντα. Τοιαῦτα δὲ πάντα τὰ ζῷα,
ἐπεὶ καὶ ἄνθρωπον σέβουσι κατὰ Ἄναβιν κώμην, ἐν ᾗ καὶ
11 τούτῳ θύεται, καὶ ἐπὶ τῶν βωμῶν τὰ ἱερὰ ἐκκαίεται. Ὁ δὲ
μετ' ὀλίγον φάγοι ἂν τὰ ἴδια αὐτῷ ὡς ἀνθρώπῳ παρεσκευ- c
ασμένα. Ὡς οὖν ἀνθρώπου ἀφεκτέον, οὕτω καὶ τῶν ἄλλων.
12 Ἔτι δὲ ἐκ περιττῆς σοφίας, καὶ τῆς περὶ τὸ θεῖον συντρο-
φίας, κατέλαβόν τισι τῶν θεῶν προσφιλῆ τῶν ζώων τινὰ

a 7. ἣν ἕκ.] ὧν ἕκ. B.C.D.F.G. Tum τῶν θεῶν om. A.H. ἐθρήσκευσαν] ἐθρήσκευον B.C.D.F.G. 11. που] περ D. b. ἁγίου] ὅλου C.F. 2. λείβοντος] λήγοντος A.H. λύβοντος C. 4. τοῦ οὐδοῦ] τοῦ om. A.H. ab ἑστὼς usque ad θύεται om. B. φωνῇ om. A. θεῶν H. 5. ἐγείρει] ἐγείρῃ C.F.G. 6. μάλιστα πλέον] πλεῖον A.H. qui mox om. τά. 9. κατὰ Ἄναβιν] κατ' ἀνάγκην A.H. 10. τούτων] τούτῳ C.D. ἐν ᾧ καὶ τούτῳ F.G. 11. ἐκκαίεται] ἐκκάεται D. ὁ δὲ] τὸ δὲ A. c 2. ἀνθρώπου] ἀνθρώπῳ H. 3. ἐκ περιττῆς] περὶ τῆς A. ἐκ om. H.

9 pastuque conjunctas deorum singuli declararunt, venerari solent. Aquam
autem et ignem elementorum optima divinis honoribus tanquam præcipuas
salutis nostræ causas prosequuntur. Atque hæc in ipsis quoque templis
ostendunt: cum in sacra Serapidis æde reseranda, solennis expiationis
ritus igne simul et aqua in hodiernum usque diem peragi consueverit,
ipso nimirum præcentore aquam libante, ignemque præferente, dum ad
10 templi vestibulum patria Ægyptiorum lingua deum exsuscitat. Hæc
igitur ipsi colunt, quod aliquam habeant cum rebus sacris communionem;
sed ea potissimum, quorum fere perpetuus iisdem in sacris usus esse solet,
majore quam cætera cultu venerantur; cujusmodi sunt cuncta animantium
genera. Nam et homini quoque circa pagum quem Anabin vocant, divinos
honores tribuunt; eique sacrificium offerunt, et impositas altaribus victi-
11 mas adolent. Ille vero paulo post ea tantum comedit, quæ sibi ex privato
pœnu tanquam homini parata et apposita fuerint. Sicut igitur ab homine,
12 sic a reliquis insuper animantibus abstinendum est. Præterea, cum sin-
gulari quadam et eximia sapientiæ vi, tum diuturna cum divino numine
consuetudine, hoc etiam intellexere, quosdam esse deos, qui certis animan-

μᾶλλον ἀνθρώπων, ὡς ἡλίῳ ἱέρακα, σύμπασαν μὲν τὴν φύσιν ΠΟΡΦΥ-ΡΙΟΥ
ἐξ αἵματος ἔχοντα καὶ πνεύματος, οἰκτείροντα δὲ καὶ ἄνθρω-
πον, καὶ κωκύοντα ἐπὶ νεκρῷ κειμένῳ, γῆν τε ἐπαμώμενον.

Καὶ μετὰ βραχέα φησίν,

13 Κάνθαρον δὲ ἀμαθὴς μὲν βδελυχθείη ἂν ἀγνώμων ὑπάρ-
χων τῶν θείων· Αἰγύπτιοι δὲ ἐσέφθησαν, ὡς εἰκόνα ἡλίου d
ἔμψυχον. Κάνθαρος γὰρ πᾶς ἄρρην, καὶ ἀφιεὶς τὸν θορὸν
ἐν τέλματι, καὶ ποιήσας σφαιροειδῆ, τοῖς ὀπισθίοις ἀνταναφέρει
ποσὶν, ὡς ἥλιος οὐρανὸν, καὶ περίοδον ἡμερῶν ἐκδέ-
14 χεται σεληνιακήν. Οὕτω δὲ καὶ περὶ κριοῦ τι φιλοσοφοῦσι,
καὶ ἄλλο τι περὶ κροκοδείλου, περί τε γυπὸς καὶ ἴβεως, καὶ
ὅλως καθ' ἕκαστον τῶν ζώων· ὡς ἐκ φρονήσεως καὶ τῆς ἄγαν
θεοσοφίας ἐπὶ τὸ σέβας ἐλθεῖν καὶ τῶν ζώων.

5 Τοιαῦτα καὶ τὰ περὶ τῆς γενναίας τῶν σοφῶν Αἰ- p. 95

c 6. ἱερὰ καὶ] ἱέρακα sumpsi ex Porphyrio. 8. οἰκτείροντα] οἴκτειραν A.H. 9. ἐπαμώμενα] ἐπαμώμενον A.H. 10. μετὰ βραχέα] μετ' ὀλίγα H. φησίν] φασὶ B. Κανθάρου] Κάνθαρον A.B.C.F.G.H.S. Κάνθαρος D. Tum μὲν pro δὲ B.C.F.G. quod om. C.F.G. post ἀμαθής. d 3. καὶ ἀφ.] καὶ om. A.H. τέλματι] στέλματι C.F. 4. τοῖς ὀπισθίοις] τοὺς ὀπισθίους H. qui φησὶν pro ποσίν. ἀνταναφέρει ποσὶν] ποσὶν ἀντ. B. ἀνταφέρει π. F. 6. Οὕτω δὲ] οὕτω δὲ κρύπτουσι καὶ ἄλλό τι περὶ κροκ. B. Supra ἐνδέχεται φί F.G. 10. θεοσοφίας] θεοσεβείας D.

tibus magis quam hominibus ipsis delectentur, ut solem accipitre, qui cum naturam habeat totam ex sanguine spirituque constantem, tum ea est erga hominem commiseratione, ut jacenti ejus cadaveri ingemiscat, oculisque terram ingerat.

Et pauculis interjectis.

13 Jam vero, scarabeum, inquit, stultus forte quispiam detestetur, utpote
divinis in rebus hospes ac peregrinus: at hunc Ægyptii quasi vivam ac
spirantem solis imaginem venerari solent. Nam et scarabeus omnis mas
est, et semen in paludem immissum, ac sphæricam in figuram conforma-
tum postremis pedibus in aversam partem convolvit, solis in cœlo motum
14 æmulatus, integramque lunæ dierum conversionem expectat. Sicque sin-
gulare aliquid de ariete, aliud item de crocodilo, ac similiter de vulture,
ibi, verbo, de quolibet animantium genere philosophantur, ut summæ
cujusdam prudentiæ, aut potius divinæ sapientiæ consilio ad cultum ipsis
etiam animalibus tribuendum adducti esse videantur.

5 Hæc igitur laudatus a nobis scriptor de egregia politorum et ele-

γυπτίων φυσιολογίας τέθειται ὁ δεδηλωμένος, Αἰγυπτίων
διασαφήσας ἡμῖν τὰ ἀπόρρητα, ὅτι τε ὕδωρ καὶ πῦρ
σέβουσι, καὶ μία λογικῶν καὶ ἀλόγων οὐ μόνον σωμά- b
των ἀλλὰ καὶ ψυχῆς οὐσία κέκριται εἶναι παρ' αὐτοῖς,
ὡς εὐλόγως αὐτῷ δοκεῖν θεοὺς ἀνηγορεῦθαι τὰ θηρία.
2 Καίτοι πῶς οὐ παραλογώτατον εἰς θεοποιίαν παραλαμ-
βάνειν τὴν ἄλογον καὶ θηριώδη φύσιν, διὰ τὸ τῆς ἴσης,
ὥς φασιν, ἀνθρώποις μετέχειν ψυχῆς; Ἐχρῆν γάρ, εἴπερ
ἄρα, ἀνθρώπους καὶ αὐτὰ ἡγεῖσθαι, καὶ τῆς ἀνθρωπείας
3 αὐτοῖς δόξης τε καὶ τιμῆς μεταδιδόναι. Οἱ δὲ τοῦτο
μὴ πράξαντες, τὰ πρὸς αὐτῆς τῆς φύσεως ἄλογα θηρία
γενόμενα, καὶ ταύτην εἰληχότα τὴν ἐπωνυμίαν, καὶ οὐδὲ c
τῆς ἀνθρώπων προσρήσεως ἠξιωμένα, οὐδ' ὁμοίως ἀν-
θρώποις ἠξίωσαν ἀποδέξασθαι· τὴν ἀνωτάτω δὲ τοῦ
παμβασιλέως προσηγορίαν καὶ τοῦ τῶν ἁπάντων δη-

p. 95. 6. φυσιολογίας τέθειται] φιλοσοφίας τίθεται F. φιλοσοφίας τεθ. G. τέθειται] τεθέαται B. 7. Αἰγυπτίων om. A.H. b 2. αὐτῷ δοκεῖν] αὐτοδικεῖν H. 3. θεοὺς om. C.F.G. Tum ἀνηγορεῦσθαι A.B.D.H. 4. θεοποιίαν] θεολογίαν cum γρ. θεοποιίαν in marg. D. 7. χρῆ γὰρ] ἐχρῆν γὰρ A.H. χρῆν γ. D.F.G. Supra πᾶσιν H. pro φασίν. 9. τε καὶ] τε om. B.C.F.G. c. τὴν ἐπων.] τὴν om. A. 2. προῤῥήσεως] προσρήσεως B.D.F. προσρρήσεως C. πρὸς ῥήσεως H.

gantium Ægyptiorum physiologia commemorat, quibus eorum nobis
arcana patefecit; nimirum, aquam ipsos ignemque venerari, unamque
omnino esse tam ratione præditorum, quam eadem carentium, nec
corporum modo, sed etiam animi substantiam naturamque statuere;
ut eam ob caussam feras etiam jure ab illis ac merito deorum in
2 numero palam habitas ac recensitas fuisse arbitretur. Id autem quis
non ab omni ratione alienissimum esse videat, rationis expertem
belluinamque naturam, ut numen in ea consecretur adhiberi, quod
ejusdem, ut aiunt, cum hominibus animi communione jungatur?
quippe, oporteret enim, si ita est, easdem feras homines appellare,
3 humanamque cum iis dignitatem honoremque communicare. Quod
illi cum minime fecerint, quæ tamen ab ipsa natura brutæ ac rationis
expertes feræ procreantur, quæ hoc cognomenti genus sibi proprium
sortitæ sunt, quæ ne ipsa quidem hominum appellatione dignæ judi-
cantur; eas non jam eodem apud se quo homines jure esse volue-
runt, sed altissimum illud orbis universi regis, ac rerum omnium

μιουργοῦ Θεοῦ φέροντες εἰς τὴν θηρίων φύσιν καταβεβλήκασι, καὶ θεοὺς ἐπεφήμισαν ἃ μηδὲ τῆς ἀνθρώπων
4 πρὸς αὐτοῦ τοῦ Θεοῦ κατηξίωται προσηγορίας. Ἐπὶ τούτοις ἀκήκοας καὶ τῆς θεοσοφίας τῆς μυστικῆς, δι' ἣν οἱ θαυμάσιοι τῶν Αἰγυπτίων λύκους καὶ κύνας καὶ λέοντας ἐσεβάσθησαν· ἔγνως καὶ τοῦ κανθάρου τὸ θαῦμα, d
καὶ ἱέρακος τὴν ἀρετήν· μὴ δὲ γέλα τοῦ λοιποῦ τοὺς θεοὺς, ἐλέει δὲ τῆς πολλῆς εὐηθείας καὶ ἀβλεψίας τὸ
5 τρισάθλιον ἀνθρώπων γένος. Καὶ δὴ σκόπει πάντα περιαθρῶν οἵων ἡμῖν ἀγαθῶν πάρεστι δοτὴρ ὁ Χριστὸς τοῦ Θεοῦ, τοσαύτης νόσου μακρᾶς τε καὶ πολυχρονίου πηρώσεως καὶ τὰς Αἰγυπτίων ψυχὰς διὰ τῆς εὐαγγελικῆς αὐτοῦ διδασκαλίας λελυτρωμένος, ὡς τοὺς πλείους ἤδη τῶν κατ' Αἴγυπτον καὶ ταύτης ἀπηλλάχθαι τῆς νόσου.

6 Ἀλλὰ γὰρ τοιαῦτα καὶ τὰ παρ' Αἰγυπτίοις, ἃ καὶ p. 96 b

c 6. τῶν θηρίων] τῶν om. A.C.D.F.G.H. 7. ἐπεφήμισαν] ἐπευφήμησαν C.F. ἐπευφήμισαν G. 9. θεοσοφίας] σοφίας C.F.G. καὶ om. F. 10. θαυμάσιοι τῶν] θαυμάτων τῶν B. d 2. δὲ γέλα] δὴ γέλα B.F.G. δὲ om. A.H. 3. δὲ καὶ] δὲ τῆς A.C.F.G.H. καὶ om. D. 5. τὰ πάντα] τὰ om. B.C.F.G. Mox ἀγαθῶν ἡμῖν B.C.F.G. 6. πάρεστι] παρέστη A. 7. ὁ Θεὸς τοσαύτης] τοῦ θεοῦ τοιαύτης A. ὁ θεὸς om. B.F.G. vid. p. 96 d. 10. λελυτρωμένους H.
p. 96. 6. καὶ τὰ] τὰ om. A.H. b. ἃ καὶ] ἃ om. A.H.

molitoris Dei nomen in belluarum naturam ultro dejecerunt, easque deos pronuntiarunt, quas Deus ne hominum quidem appellatione
4 dignatus est. Audiisti præterea divinæ sapientiæ mysteria, quæ mirabilem Ægyptiorum nationem ad lupos, canes, leonesque venerandos excitarit. Cognovisti etiam scarabei miraculum, virtutem accipitris. Desine tamen, quod superest, deos irridere: subeat te potius tantæ infelicissimi hominum generis cæcitatis et amentiæ
5 commiseratio: simulque omnibus diligenter exploratis tecum ipse reputa, quibus nos quantisque bonis Christus ille Deus cumularit, qui nostros et Ægyptiorum ipsorum animos, evangelicæ doctrinæ suæ vi tam inveterata tamque diuturna cæcitate vindicarit: nam et Ægyptios quoque maximam sane partem videmus ab istius morbi contagione liberatos.

6 Ejusmodi fuerunt Ægyptiorum commenta, quæ longe omnibus

παλαίτερα τῶν Ἑλληνικῶν ἁπάντων μνημονεύεται.
[59] Ἔχεις τοιγαροῦν πρὸς τῇ μυθικῇ καὶ τὴν φυσικωτέραν
θεολογίαν Ἑλλήνων ὁμοῦ καὶ Αἰγυπτίων, τῶν πάλαι
τὴν πολύθεον δεισιδαιμονίαν συστησαμένων, παρ' οἷς,
ὅτι μηδέν τι τῶν ἀληθῶς θείων ἀσωμάτων τε καὶ νοε-
2 ρῶν οὐσιῶν ἐγνωρίζετο, μεμάθηκας. Πλὴν ἀλλὰ δεδό-
σθω καὶ συγκεχωρήσθω τουτοισὶ τοῖς μετεωρολέσχαις
λέγειν ἀληθῆ, καὶ ἐπιτυγχάνειν ἐν τῇ τῶν ἀλληγορου-
μένων φυσιολογίᾳ· γινέσθω τε αὐτοῖς ὁ ἥλιος ποτὲ μὲν
Ἀπόλλων, καὶ πάλιν Ὧρος, καὶ Ὄσιρις πάλιν ὁ αὐτὸς, c
καὶ μυρία ἄλλα ὅσα καὶ θέλοιεν· ὥσπερ οὖν καὶ ἡ
σελήνη, ἡ Ἶσις ἢ Ἄρτεμις, καὶ ὅσα ἄν τις ἐξαριθμεῖν
3 βούλοιτο· μὴ γὰρ ἔστω ταῦτα θνητῶν ἀνδρῶν, ἀλλ'
αὐτῶν τῶν ἐπουρανίων φωστήρων σημαντικαὶ προσηγο-
ρίαι· τὸν ἥλιον ἄρα, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας,
καὶ τὰ λοιπὰ τοῦ κόσμου μέρη, ὡς θεοὺς προσκυνητέον.

b. παλαίτερα] παλαιότερα A.H. 3. τὴν μυθικὴν] τῇ μυθικῇ C.F.G. Vigeri marg. 4. θεολογίας] θεολογίαν A.C.D.F.G.H. Vigeri marg. 5. τῶν πάλαι τὴν πολύθεον] τὴν πολύθεον πάλαι A.H. 6. τι τῶν] καὶ τῶν C. 7. ἐγνωρίζετο] ἐγιγνώσκετο D. ἐγινώσκετο F.G. 8. συγκεχωρήσθω] συγκεχωρίσθω C. 11. γινέσθω τε] γ. δὲ A.H. c. Ὧρος] ὡροσκόπος A. ὁροσκόπος H. 2. θέλοιεν] θέλοις A.H. 3. ἢ Ἶσις] ἢ om. C.D.F.G. 6. ἐπουρανίων] οὐρανίων C.F.G. σημαντικαὶ] σημαντικὰ C.F.

Græcorum figmentis antiquiora fuisse memorantur. Habes tu præter
fabulosam illam theologiam, aliam quoque cum rebus naturalibus
conjunctiorem, eamque cum Græcis pariter Ægyptiisque communem,
qui jam olim superstitiosum istum tot numinum cultum conflavere,
quos utique nihil omnino de ulla vere divina, corporis experte, atque
2 intelligente natura cognovisse, facile animadvertis. Sed enim demus
hoc tamen, atque istis altiorum cœlestiumque nugarum architectis
concedamus, verum eos dicere, et in hac sua allegoricæ interpreta-
tionis physiologia scopum ipsum attigisse. Sit apud illos sol nunc
quidem Apollo, nunc Orus, nunc etiam si lubet, Osiris, imo esto
sane quicquid ipsi voluerint: itemque luna, vel Isis, vel Artemis,
3 vel quæcunque recensere placuerit: sint enimvero hæc non morta-
lium hominum, sed luminum cœlestium propria nomina: erit vide-
licet propterea soli, lunæ, sideribus, ac reliquis hujus mundi partibus

4 *Καὶ ταύτῃ τοιγαροῦν ἡ γενναία τῶν Ἑλλήνων φιλοσο-*
φία ὥσπερ διὰ μηχανῆς πέφηνεν εἰς ὕψος μὲν ἀνάγουσα d
τὴν ἐπαγγελίαν τοῦ λόγου, κάτω δὲ περιστρέφουσα
ἀμφὶ τὴν αἰσθητὴν καὶ φαινομένην τοῦ θεοῦ δημιουρ-
γίαν τὴν τῶν σοφῶν διάνοιαν, καὶ πλέον οὐδὲν ἀλλ'
ἢ πῦρ καὶ τὴν θερμὴν οὐσίαν, τά τε μέρη τοῦ κόσμου,
διὰ τῶν οὐρανίων φωστήρων, ἔστω δὲ καὶ τὴν ὑγρὰν
καὶ τὴν ξηρὰν καὶ τὴν σύγκρασιν τῶν σωμάτων θειά-
5 *ζουσα. Πῶς οὖν οὐ μέγα καὶ θαυμάσιον τὸ τοῦ σω-*
τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ εὐαγγέλιον, πᾶν
γένος ἀνθρώπων παιδεῦον τὸν ἡλίου καὶ σελήνης Θεὸν
καὶ δεσπότην καὶ δημιουργὸν τοῦ σύμπαντος κόσμου,
αὐτὸν τὸν ἀνωτάτω καὶ ἐπέκεινα τῶν ὅλων, ταῖς προσ-
6 *ηκούσαις ἐννοίαις εὐσεβεῖν; καὶ οὐ τὰ τῶν σωμάτων*
στοιχεῖα, ἀλλὰ τὸν ζωῆς αὐτῆς καὶ τροφὸν καὶ πάντων
τῶν ἀγαθῶν ταμίαν ὑμνεῖν, μέρη τε τοῦ κόσμου τὰ ὁρώ- p. 97

c 10. φιλοσοφία] φυσιολογία D.F.G. ὡς] ὥσπερ A.C.D.F.G.H. d 3. αἰσθητὴν καὶ] αἴσθησίν τε καὶ A.H. 6. διὰ τῶν] ἴσ. μετὰ τῶν Vigeri margo. 7. τὴν ξηρὰν] τὴν om. D.F.G. 9. Χριστοῦ καὶ] τοῦ Χριστοῦ τοῦ A. et ni fallor H. καὶ θεοῦ om. C.F.G. 11. Θεὸν καὶ δεσπότην] δεσπότην θεὸν καὶ A.H. Tum τὸν δημ. H. ult. καὶ τροφῶν καὶ πάντων] καὶ τροφὸν τῶν ἀγαθῶν πάντων A. τῶν ἀγ. item C.F.G.H.

4 adorationis cultus tanquam diis exhibendus. Sic ergo præclara Græcorum philosophia in omnium conspectu, verborum quidem ostentationem quasi machina quadam sublime tollit, at sapientium mentem deorsum et circa dei creaturas quæ sensibus oculisque patent ita versat, nihil ut omnino præter ignem calidamque naturam, mundique partes, luminaque cœlestia, adde vero humidam atque siccam per me
5 licet, ipsamque corporum temperationem divinitate donet. Quis igitur non videat, magnum plane atque admirabile quiddam esse Jesu Christi servatoris Deique nostri evangelium, quod universum hominum genus edoceat, solis ipsius lunæque Deum ac dominum orbisque totius conditorem, supremum, inquam, illum, rerumque fines ac terminos omnium superantem, convenienti tantæ majestati
6 cogitatione sensuque venerari? adeoque non corporum elementa, sed ipsiusmet vitæ, alimentorum, cunctorumque bonorum quæstorem ac dispensatorem celebrare? nec jam ullo modo aspectabiles istius

μενα καὶ πᾶν τὸ καταληπτὸν σαρκὸς αἰσθήσει, ὡς ἂν τῆς φθαρτῆς ὄντα φύσεως, οὐδαμῶς καταπλήττεσθαι, τὸν δ' ἐν τούτοις ἅπασιν ἀόρατον, καὶ τὸν καθόλου τε καὶ κατὰ μέρος δημιουργικὸν νοῦν μόνον ἀποθαυμάζειν, καὶ θεολογεῖν μίαν μόνην ἐκείνην τὴν διήκουσαν καὶ διακοσμοῦσαν τὰ πάντα θείαν δύναμιν, ἀσώματον οὖσαν καὶ νοερὰν τὴν φύσιν, μᾶλλον δὲ ἄρρητον εἰπεῖν καὶ ἀκατάληπτον, διὰ πάντων, δι' ὧν καὶ ἐνεργεῖ, παραφαινομένην, διήκουσάν τε ἀσωμάτως, καὶ ἀσυμπλόκως τὰ πάντα ἐπιπορευομένην, καὶ διὰ πάντων οὐκ οὐρανίων μόνον, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς, τῶν τε καθόλου στοιχείων b *καὶ τῶν ἐπὶ μέρους, τὴν τῆς θεότητος διαρκῆ μεγαλουργίαν ἐπιδεικνυμένην, πᾶσί τε ἀφανῶς καὶ ἡμῖν ἀνεπαισθήτως ἐπιστατοῦσαν, καὶ λόγοις ἀνεκφράστου σοφίας τὸν σύμπαντα κόσμον διακυβερνῶσαν.*

p. 97. 3. *τὸν*] *τὰ* A.H. 4. *ἀόρατον καὶ τὸν*] *ἀοράτοις καὶ τῶν* A. *ἀοράτοις* H. 5. *δημιουργικὸν*] *δημιουργὸν* C.F.G. *νοῦν μόνον*] *οὐ μόνον* A.H. 6. *ἐκείνων διήκουσαν*] *ἐκείνην τὴν διήκ.* A.E.H. *τὴν διήκ.* C.D.F.G. 7. *δύναμιν θείαν*] *θείαν δ.* A.E.H. 8. *δὲ καὶ*] *καὶ* om. A.E. F.G.H. 10. *ἐνεργεῖ*] *ἐνεργειῶν* F. Mox *παραφαινομένη διήκουσαν δὲ* H. 12. *δι' ἁπάντων*] *διὰ π.* A.C.E.F. b 2. *μέρους τὴν τῆς θ.*] *μέρους, τὴν τῆς ἐπὶ μέρους θ.* A.H. 3. *διαρκεῖ*] *διαρκῆ* A.C. Viger. *ἐπιδεικνυμένην*] *ἐνδεικνυμ.* C.F.G. 5. *ἀνεκφράστοις*] *ἀνεκφράστου* A.H.V. *γρ.* S. 6. *διακυβερνῶσαν*] *διακυβερνᾶν* C.F.G.

mundi partes, aut eorum quicquam quæ sensu corporis attingi comprehendique possunt, quippe quæ caducæ pereuntisque naturæ sint, cum stupore mentis intueri: sed potius mentem illam, non modo communium universi naturarum, sed rerum quoque singularum effectricem, quæque cum insit in omnibus, nusquam tamen videri potest, unam admirari, unam suis de numine sermonibus ac disputationibus prædicare; solam, inquam, illam potestatem divinam, quæ cuncta permeat, cunctaque moderatur, corpore vacuam intelligentemque naturam, vel ejusmodi potius, quam nec dicendi nec cogitandi vis ulla capere possit, quæ subinde rebus in omnibus quæ per eam efficiuntur appareat, quæ sine corpore cuncta penetret, ac sine ulla commixtione pervadat, quæ omnibus in creaturis non cœlestibus modo, sed etiam terrenis constantem ac perpetuam operandi virtutem ac magnificentiam ostendat, quæ cunctis citra aspectum, nobisque adeo citra sensum omnem moderetur, ac sapientiæ quas verbis
7 assequi nemo queat rationibus orbem gubernet universum. Sed

Τοσούτων ἡμῖν ἀποδεδειγμένων εἰς ἔλεγχον τῆς ἀσυστάτου [σοφίας ἢ] θεολογίας, τῆς τε λεγομένης μυθικωτέρας καὶ τῆς ὑψηλοτέρας δὴ καὶ φυσικωτέρας, ἣν οἱ παλαιοὶ Ἕλληνές τε καὶ Αἰγύπτιοι σεμνύνοντες ἀπεδείχθησαν, ὥρα καὶ τῶν νέων τῶν δὴ καθ' ἡμᾶς αὐτοὺς c φιλοσοφεῖν ἐπαγγελομένων ἐπαθρῆσαι τὰ καλλωπίσματα· οἵδε γὰρ τὰ περὶ νοῦ δημιουργοῦ τῶν ὅλων, καὶ τὰ περὶ ἀσωμάτων ἰδεῶν νοερῶν τε καὶ λογικῶν δυνάμεων, τοῖς ἀμφὶ τὸν Πλάτωνα μακροῖς ποθ' ὕστερον χρόνοις ἐφευρημένα, καὶ λογισμοῖς ὀρθοῖς ἐπινενοημένα, συμπλέξαι τῇ τῶν παλαιῶν θεολογίᾳ πεπειραμένοι μείζονι τύφῳ τὴν περὶ τῶν μύθων ἐπαγγελίαν ἐξῆραν. Ἄκουε δ' οὖν καὶ τῆς τούτων φυσιολογίας, μεθ' οἵας d ἐξενήνεκται τῷ Πορφυρίῳ ἀλαζονείας·

Φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ' ἐπίθεσθε βέβηλοι. ΠΟΡΦΥΡΙΟΥ

[60] Σοφίας θεολόγου νοήματα δεικνὺς, οἷς τὸν θεὸν καὶ τοῦ θεοῦ

b 8. σοφίας ἢ om. A.E.H. 9. καὶ φυσ.] δὴ καὶ A.H. 10. τε καὶ] τε om. C. 11. σεμνύνοντες] σεμνύνονται C.F.G. Mox ὅρα γὰρ E. c 3. τὰ περὶ] τὸ περὶ H. δημιουργικοῦ] δημιουργοῦ A.D.F.G.H. περὶ τοῦ δημιουργοῦ C. Supra οἵγε E. 7. λογισμοῖς] ἐν λογ. A.H. d 2. Πορφυρίῳ] Ex libro Περὶ Ἀγαλμάτων docente Holstenio De Vit. et scr. Porphyrii c. 9. p. 53. 9. σοφίας θεολόγου] θεολ. σοφ. B. θεοῦ λόγου σ. D. qui mox om. καί. γρ. θεοῦ λόγου S. νοήματα] μηνύματα B.C.F. μνήματα S. καὶ τὸν θεὸν] καὶ om. A.B.C.F.G.H.

quoniam tot hactenus argumentis istius sapientiæ vel theologiæ, sive quæ fabularum comes et socia nominatur, sive quam veteres cum Græci tum Ægyptii ad aliquam dignitatis speciem cum rerum naturis propius conjunxere, vanitatem et inconstantiam illustravimus; sequitur, uti invecta a recentioribus iis qui nostris temporibus sese philosophari profitentur fuci plena ornamenta videamus. Isti quippe, quæ longo post ætatum intervallo, de mente rerum omnium procreatrice, deque corpore carentibus ideis, ac de naturis intelligentia rationeque præditis inventa primum a Platone, summoque judicio excogitata fuerant, ea cum priscorum theologia colligare moliti, majore quam antea fastu hanc texendarum fabellarum professionem extulere. Audi ergo quanta cum ostentatione atque jactantia hominum etiam istorum physiologiam Porphyrius evulgarit:

Fas quibus est, narrabo: fores claudunto profani;

divinæque sapientiæ sensus et consilia proferam, quibus ii deum et multi-

ΠΟΡΦΥΡΙΟΥ

τὰς δυνάμεις διὰ εἰκόνων συμφύλων αἰσθήσει ἐμήνυσαν ἄνδρες τὰ ἀφανῆ φανεροῖς ὑποτυπώσαντες πλάσμασι, τοῖς καθάπερ p. 98 ἐκ βίβλων τῶν ἀγαλμάτων ἀναλέγειν τὰ περὶ θεῶν μεμαθηκόσι γράμματα. Θαυμαστὸν δὲ οὐδὲν ξύλα καὶ λίθους ἡγεῖσθαι τὰ ξόανα τοὺς ἀμαθεστάτους, καθὰ δὴ καὶ τῶν γραμμάτων οἱ ἀνόητοι λίθους μὲν ὁρῶσι τὰς στήλας, ξύλα δὲ τὰς δέλτους, ἐξυφασμένην δὲ πάπυρον τὰς βίβλους.

2 Τοιαῦτα δὲ ὡς ἐν προοιμίῳ κατακομπήσας, ἄκουε οἷα προϊὼν ἑξῆς γράφει πρὸς λέξιν·

Φωτοειδοῦς δὲ ὄντος τοῦ θείου, καὶ ἐν πυρὸς αἰθερίου b περιχύσει διάγοντος, ἀφανοῦς τε τυγχάνοντος αἰσθήσει περὶ θνητὸν βίον ἀσχόλῳ, διὰ μὲν τῆς διαυγοῦς ὕλης, οἷον κρυστάλλου ἢ Παρίου λίθου ἢ καὶ ἐλέφαντος, εἰς τὴν τοῦ φωτὸς αὐτοῦ ἔννοιαν ἐνῆγε, διὰ δὲ τῆς τοῦ χρυσοῦ εἰς τὴν τοῦ πυρὸς διανόησιν, καὶ τὸ ἀμίαντον αὐτοῦ, ὅτι χρυσὸς οὐ μιαίνεται.
3 Πολλοὶ δὲ αὖ καὶ μέλανι λίθῳ τὸ ἀφανὲς αὐτοῦ

d 11. συμφύλων αἰσθήσει] συναισθήσει A.H. 12. ἀποτυπώσαντες] ὑποτυπ. B.C.D.F.G.

p. 98. 8. τοιαῦτα] τοιαῦτα δὲ A.H. κατακομπήσας] κατακοσμήσας A.H. 9. προϊὼν ἑξῆς] ἑξῆς πρ. A.H. b 2. τὸν βίον] τὸν om. A.D.F.G.H. 4. ἢ καὶ] ἢ om. E.F.G. 5. αὐτῶν] αὐτοῦ MS. apud Vigerum. ἐνῆγε] ἐνῆγον A.H. ἀνενῆγε D. ἐνῆγες F. ἐνῆγεν G. Mox τῆς om. B.F.G. 7. αὐτοῦ] αὐτῶν A.H. αὐτὸ C.

plicem dei vim atque potestatem, imaginibus quibusdam naturali cum sensu cognatione conjunctis indicarunt, qui res aspectum omnem fugientes perspicuis simulacris in eorum gratiam expressere, qui prima de diis elementa, eorumque doctrinam ex statuis sic tanquam e libellis recitare didicerant. Enimvero mirum videri non debet, si ligna, si lapides simulacra deorum esse homines imperitissimi arbitrentur, perinde sane ut ii, qui rudes ignarique literarum, cippos quidem non aliter ac lapides, tabulas vero non secus atque ligna, libros denique quasi contextam papyrum intuentur.

2 His ubi verbis ille prolusit ad fastum ostentationemque compositis, accipe porro quemadmodum institutam orationem prosequatur.

Jam vero, quod numen, inquit, lucis formam aliquam speciemque præ se ferat, et in medio circumfusi purissimi cujusdam ignis orbe versetur, nec ab ullo sensu qui circa mortalem hanc vitam occupetur attingi possit: illustri quidem splendidaque materia, cujusmodi crystallum est, Pariumve marmor, aut ebur, in aliquam sui luminis cogitationem adduxit; auri vero aspectu, partim ignis, partim decoris sui nullam omnino maculam ferentis notionem impressit; aurum enim sordibus fœdari non potest.
3 Quinetiam plerique nigro lapide naturam illius nusquam sub oculos

τῆς οὐσίας ἐδήλωσαν· καὶ ἀνθρωποειδεῖς μὲν ἀπετύπουν τοὺς ΠΟΡΦΥΡΙΟΥ
θεοὺς ὅτι λογικὸν τὸ θεῖον, καλοὺς δὲ, ὅτι κάλλος ἐν ἐκείνοις
ἀκήρατον· διαφόροις δὲ σχήμασι καὶ ἡλικίαις, καθέδραις c
τε, καὶ στάσεσι, καὶ ἀμφιάσεσι· καὶ τοὺς μὲν ἄρρενας, τὰς
δὲ θηλείας, καὶ παρθένους, καὶ ἐφήβους, ἢ γάμου πεῖραν
4 εἰληφότας, εἰς παράστασιν αὐτῶν τῆς διαφορᾶς. Ὅθεν
πᾶν τὸ λευκὸν τοῖς οὐρανίοις θεοῖς ἀπένειμαν, σφαῖράν τε
καὶ τὰ σφαιρικὰ πάντα ἰδίως τε κόσμῳ καὶ ἡλίῳ καὶ σελήνῃ,
ἔσθ' ὅπου δὲ καὶ τύχῃ καὶ ἐλπίδι· κύκλον δὲ καὶ τὰ κυκλικὰ
αἰῶνι καὶ τῇ κατὰ τὸν οὐρανὸν κινήσει ταῖς τε ἐν αὐτῷ ζώναις
καὶ τοῖς κύκλοις· κύκλων δὲ τμήματα τοῖς σχηματισμοῖς τῆς d
σελήνης· πυραμίδας δὲ καὶ ὀβελίσκους τῇ πυρὸς οὐσίᾳ, καὶ
διὰ τοῦτο τοῖς Ὀλυμπίοις θεοῖς· ὥσπερ αὖ κῶνον μὲν ἡλίῳ,
γῇ δὲ κύλινδρον, σπορᾷ δὲ καὶ γενέσει φάλητα, καὶ τὸ τρί-
γωνον σχῆμα διὰ τὸ μόριον τῆς θηλείας.

5 Ταῦτα ὁ θαυμαστὸς φιλόσοφος, ὧν τί ἂν γένοιτο

b 9. ἀνθρωποειδεῖς] ἀνθρωποειδὲς A.H. Mox ἀπέτυπον H. 10. τοὺς θεοὺς om. A.H. Tum τὸ θεῖον λογ. B. 11. κάλλος] κάλλους C. qui οἶδος inserit ante ἀκήρατον. κάλλους ἐν ἐ. εἶδος D.F.G. c 10. κατ' οὐρ.] κατὰ τὸν οὐρ. A.B.H. καὶ ante τὰ κ. om. E. d. τμήματα] σχήματα A.H.V. γρ. S. 3. καὶ τοῖς] καὶ om. A.H. 5. γῇ δὲ] γῇ om. A.H. in marg. γῇ ἡλίῳ A. σπορᾷ] σφόδρα A.H. 6. φάλητα] φιλητὰ A.H. Tum καὶ τὸ om. B. 8. φιλόσοφος] σοφὸς A.H.

cadentem adumbrarunt. Nam quod ratione præditum numen sit, humanam in figuram deos conformarunt: quod vero pulcritudinem habeat omni fato superiorem, formæ dignitate præstantes effinxerunt: varia denique cum specie tum ætate spectabiles, itemque diverso vel sedendi, vel standi more, cultuque dissimili, adeoque mares alios, alios fœminas, virgines, adolescentes, matrimonioque conjunctos, ut eorum inter sese
4 discrimen ac differentiam exhiberent. Itaque alba omnia cœlestibus diis assignarunt, itemque sphæram et cuncta sphærica mundi quidem, solis, ac lunæ propria, sed tamen iis aliquando cum fortuna et spe communia esse voluerunt: circulum vero quæque circularis erant figuræ partim æternitati, partim cœli motui, ejusdemque zonis ac circulis; circulorum autem sectiones variis lunæ figuris, pyramides et obeliscos ignis naturæ, eademque de caussa Olympiis quoque diis, ut conum præterea soli, terræ cylindrum, semini ac generationi effigiem veretri, figuramque triangularem propter verecundum fœminæ membrum tribuerunt.

5 Hæc egregius singularisque philosophus, quibus quid fœdius ac

ἀσχημονέστερον τὰ αἰσχρὰ σεμνολογοῦσιν, τί δὲ βιαιότερον τὰς ἀψύχους ὕλας, χρυσὸν καὶ λίθον καὶ τὰ τοιαῦτα, εἰκόνας φέρειν τοῦ φωτὸς τῶν θεῶν, καὶ τῆς οὐρανίου καὶ αἰθερίου φύσεως δηλώματα φάσκειν; Ὅτι δὲ τῶν νέων ἐστὶ ταῦτα σοφίσματα, μηδ' ὄναρ τῶν p. 99 παλαιῶν εἰς ἐνθύμησιν ἐλθόντα, γνοίης ἂν μαθὼν ὅτι καὶ ἀπόβλητα ἦν παρὰ τοῖς προτέροις τὰ διὰ χρυσοῦ καὶ τῆς νομιζομένης πολυτελεστέρας ὕλης ξόανα. Λέγει δ' οὖν Πλούταρχος ὧδέ πη κατὰ λέξιν·

8 ΠΛΟΥΤΑΡΧΟΥ

Ἡ δὲ τῶν ξοάνων ποίησις ἀρχαῖον ἔοικεν εἶναί τι καὶ πα- b λαιόν, εἴ γε ξύλινον μὲν ἦν τὸ πρῶτον εἰς Δῆλον ὑπὸ Ἐρυσίχθονος Ἀπόλλωνι ἐπὶ τῶν θεωριῶν ἄγαλμα, ξύλινον δὲ τὸ τῆς Πολιάδος ὑπὸ τῶν αὐτοχθόνων ἱδρυθέν, ὃ μέχρι νῦν Ἀθηναῖοι διαφυλάττουσιν. Ἥρας δὲ καὶ Σάμιοι ξύλινον εἶχον εἶδος, ὥς φησι Καλλίμαχος,

d 9. σεμνολογούντων] σεμνολογοῦσιν A.S.V. ἀσχημ.—σεμνολογούντων om. H. δὲ] δαὶ A.H. 10. λίθους] λίθον A.H.S.V. 13. φάσκειν om. D.F.G.

p. 99. 2. γνοίης] γνώης H. qui mox om. παρά. 3. προτέροις] πρότερον D.F.G. 5. Πλούταρχος] ὁ Πλούταρχος F.G. 9. ἔοικεν] οὐκ ἔοικεν Valckenær. Diatr. Eurip. p. 216. b. εἴ γε] εἴτε B.D. μὲν ἦν] μὲν om. C.D.F.G. 2. Ἐρισίχθονος] ἐρυσίχθονος A.C.D.F.G. Tum ἀπόλλωνον B. om. ut videtur F. 4. ὑπὸ] ἀπὸ B.C.F.G. Mox ἱδρυνθέν B. 6. Σάμιοι] σάμιον A.H. εἶχον] εἶναι A.H. εἶδος εἶχον B. εἶδος] ἔδος Bentlei. Fr. Callim. CV.

turpius dici possit, cum per ea res etiam turpissimæ verbis graviter ac magnifice prædicentur? quid porro coactum magis, quam inanimas quasdam materias, aurum, lapides, cæteraque id genus, lucis ac deorum imagines, aut cœlestis ætheriæque naturæ simulacra præ se ferre? Cæterum hæc sophismata a nuperis quibusdam invecta esse, de quibus ne per somnium quidem veteres cogitarint, vel ex eo intelligas, quod prisci illi homines confecta ex auro aut alia quadam materia quæ pluris æstimari solet simulacra rejicerent. Atque id Plutarchus sic ad verbum alicubi testatum reliquit:

8 Plutarch. T. V. p. 506 = 762, ed. Wyttenb.

Prisca vero ac pervetusta habeatur fingendorum simulacrorum consuetudo. Illud certe quidem quod in Delo primum ab Eresichthone solennioribus Atticæ pompæ diebus consecratum Apollini signum est, ligneum erat: itemque ligneum aliud ab indigenis ipsis Minervæ urbicæ positum, quod Athenienses hodieque servant. Quin et Samii quoque ligneam

ΠΛΟΥΤΑΡΧΟΥ

Οὔπω σκέλμιον ἔργον ἐΰξοον, ἀλλ' ἐπὶ τεθμὸν
δηναῖον γλυφάνων ἄξοος ἦσθα σανίς.
ὧδε γὰρ ἱδρύοντο θεοὺς τότε· καὶ γὰρ Ἀθήνης
ἐν Λίνδῳ Δαναὸς λᾶαν ἔθηκεν ἕδος.

Λέγεται δὲ Πείρας ὁ πρῶτος Ἀργολίδος Ἥρας ἱερὸν εἱσάμενος, τὴν ἑαυτοῦ θυγατέρα Καλλίθυιαν ἱέρειαν καταστήσας, c ἐκ τῶν περὶ Τίρυνθα δένδρων ὄγχνην τεμὼν εὐκτέανον Ἥρας ἄγαλμα μορφῶσαι. Πέτραν μὲν γὰρ εἰς θεοῦ κόπτειν εἰκόνα σκληρὰν καὶ δύσεργον καὶ ἄψυχον οὐκ ἐβούλοντο· χρυσὸν δὲ καὶ ἄργυρον ἡγοῦντο γῆς ἀκάρπου καὶ διεφθαρμένης χρώματα νοσώδη καὶ κηλῖδας ἐξανθεῖν ὥσπερ μώλωπας ὑπὸ [61] πυρὸς ῥαπισθείσης· ἐλέφαντι δὲ παίζοντες μὲν ἔσθ' ὅπου προσεχρῶντο, ποικίλματι τρυφῆς.

b 7. σκέλμιον] Σκέλμιος vel Κέλμιος Bentleius. ἔργον εἰς ξόανον] ἔργον εισοξόανα A. ἔργον εἰς ξόανα H. Dedi ἔργον ἐΰξοον ex em. Bentleii. 8. τεθμὸν δὴ νεόγλυφον ὦναξ θεᾶς] τ. δηναιογλ. B.C.F.G. Dedi δηναῖον γλυφάνων ἄξοος maxime ex em. Bentleii, qui τεθμοῦ Δηναιοῦ γλυφάνῳ ἄ. 9. καθιδρύοντο] ἱδρύοντο A.H. 10. Δαναὸν] Δαναὸς A.E.H.S. λεῖον] λίθον A.H. λᾶαν Toupius ad Longin. s. 40. κίον' Bentleius. Pausan. VII. 22. τὰ δ' ἔτι παλαιότερα καὶ τοῖς πᾶσιν Ἕλλησι τιμὰς θεῶν ἀντὶ ἀγαλμάτων εἶχον ἀργοὶ λίθοι. Mox ἕδνος C. Ceterum, quum Vigerus versionem Latinam, ut in loco corrupto, omiserit, nos Bentleianam dedimus. c. Καλλίθυιαν] χαλκίθυιαν A.H. ἱερίαν] ἱέρειαν A.C.D.E.H. 2. Τίρυνθα] τύρινθα B.C.F.G. τίρυνθον D. δένδρων ὄγχνην] δώρων ὀχλὴν B.C.F.G. δ. ὄχλην D. 4. κόπτειν] κοπτῆναι A. κοπῆναι H. κόπτειν C. (q?) Supra γὰρ om. D. 5. δύσεργον] δυσέργαστον C.F.G. 6. γῆς] τῆς B.H. Tum καὶ om. F.G. 7. κηλίδας] κελίδας C. 8. ἐξανθεῖν] ἐξανθεῖς B.C.D.F.G. Mox om. μώλωπας C.F.G. 9. παίζοντες] παίζοντι B.D. ὅπου] ὅτου C. 10. τροφῆς] μορφῆς B.F.G. τρυφῆς D. γρ. S.V. Hoc vel γραφῆς vel βαφῆς vulgato præfert Wyttenbach.

Junonis effigiem habuere, ut scribit Callimachus *Nondum Scelmios opus bene politum, sed more antiquo sculpturæ expers eras asser. Sic enim tunc deos statuebant: quippe et Minervæ Lindi Danaus columnam posuit pro statua.* Piras vero princeps Junonis Argolicæ templum posuisse fertur, et Callithyiam filiam ejus sacerdotem fecisse, atque ex Tirynthiis arboribus sectam pyrum silvestrem in elegantem ac politam Junonis imaginem configurasse. Nam lapidem quidem ipsi, quippe rem duriorem minusque arti obsequentem animaque carentem in numinis effigiem scalpendo conformare nolebant: aurum autem atque argentum sterilis ac vitiati soli morbosos colores esse, ac sordes quasdam et maculas ex terra ignis ardore percussa, vibicum instar existere arbitrabantur: ebore vero interdum sane utebantur, sed joco solum, et quasi ad aliquam deliciarum ac lautitiarum varietatem.

2 Ταῦτα ὁ Πλούταρχος· καὶ τούτου δὲ πολὺ πρότερον ὁ Πλάτων οὐδὲν εἶναι σεμνὸν οὐδὲ προσεοικὸς θείᾳ φύσει d ἐν χρυσῷ καὶ λίθοις καὶ ἐλέφαντι τοῖς τε ἐξ ὕλης ἀψύχου κατασκευάσμασιν εὖ μάλα εἰδὼς, ἐπάκουσον ἐν τοῖς Νόμοις ὁποῖα διατάττεται·

ΠΛΑΤΩΝΟΣ

Γῆ μὲν οὖν ἑστία τε οἰκήσεως ἱερὰ πᾶσι πάντων θεῶν· μηδεὶς οὖν δευτέρως ἱερὰ καθιερούτω θεοῖς. Χρυσὸς δὲ καὶ ἄργυρος ἐν ἄλλαις πόλεσιν ἰδίᾳ τε καὶ ἐν ἱεροῖς ἐπίφθονόν ἐστι κτῆμα, ἐλέφας δὲ ἀπολελοιπότος ψυχὴν σώματος οὐκ εὐαγὲς ἀνάθημα· σίδηρος δὲ καὶ χαλκὸς πολέμων ὄργανα.

Ταῦτα δὲ σαφῆ περιέχειν ἡγοῦμαι τῆς προτεθείσης ἀνατροπὴν φυσιολογίας· ἧς φέρε καὶ τὰ λοιπὰ ἐπιθεωρήσωμεν. Ἐπάκουσον οὖν οἷά φησιν·

9 ΠΟΡΦΥΡΙΟΥ

Ὅρα δὲ τὴν τῶν Ἑλλήνων σοφίαν οὑτωσὶ διασκοπούμενος. p. 100

d. Πλάτων] Πλάτων. Πλάτωνος B. 2. καὶ λίθοις om. A.H. τοῖς τε] τούς τε C. 3. κατασκευάσμασιν] κατεσκευασμένοις D. 4. ἐπάκουσον] ἐπακοῦσαι H. ὁποῖα] οἷα B.D.F.G. οἷα C. 5. ἑστία τε] ἐστιν ἅτε A.H. 6. δευτέρως] δευτέρας] B. 7. δὲ καὶ] δὲ om. C.F. 8. ἐπίφθονόν ἐστι] ἐστι ἐπιφ. A.H. 9. ἀπολελοιπότος] ἀπολελοιπότως B. 10. δὲ καὶ] τε καὶ A.H. 11. περιέχειν] περιέχῃ B. ult. οὖν οἷα] οὖν om. H.
p. 100. 4. δὲ] δὲ καὶ C.F.G. οὑτωσὶ διασκ.] οὕτως ἰδίᾳ σκ. A. cum οὑτωσὶ δια in marg. οὕτως ἰδίᾳ σ. H.

2 Hæc Plutarchus, eoque longe antiquior Plato nihil nec in auro, nec in lapidibus, nec in ebore, nec in ullo prorsus opere quod ex inanimi materia conflatur, esse pronuntiat, quod vel paulo augustius, vel naturæ divinæ aptum, ac simile haberi possit. Tu ergo, qui hominem, hominisque sensum apprime nosti, accipe quid in Legibus hac de re præcipiat?

Plato Legg. XII. p. 955 E.

Terra, inquit, focique domestici cunctis hominibus deorum omnium templa sunt: nemo igitur secunda diis templa consecrato. Nam aurum quidem et argentum apud alias civitates, tam privatim quam in templis ipsis invidiosa possessio est; ebur autem corporis anima spoliati minus sanctum purumque donum; ferrum denique et æs bellorum instrumenta.

Atque his equidem Porphyrianæ physiologiæ vanitatem manifesto argui ac refelli puto.

9 Age tamen, quæque ex eadem supersunt contemplemur. Audi ergo quemadmodum Porphyrius iste prosequatur.

Stobæus Ecl. I. 3, 23.

Attende mihi porro, inquit, Græcorum sapientiam, itaque tecum ipse

ΠΟΡΦΥΡΙΟΥ

Τὸν γὰρ Δία τὸν νοῦν τοῦ κόσμου ὑπολαμβάνοντες, ὃς τὰ ἐν αὐτῷ ἐδημιούργησεν ἔχων τὸν κόσμον, ἐν μὲν ταῖς θεολογίαις ταύτῃ περὶ αὐτοῦ παραδεδώκασιν οἱ τὰ Ὀρφέως εἰ- b πόντες·

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος,
Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄφθιτος ἔπλετο νύμφη.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
Ζεὺς βασιλεύς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος. c
ἓν κράτος, εἷς δαίμων γένετο, μέγας ἀρχὸς ἁπάντων,
ἓν δὲ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ, καὶ ὕδωρ, καὶ γαῖα, καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ,
καὶ Μῆτις, πρῶτος γενέτωρ, καὶ Ἔρως πολυτερπής·
πάντα γὰρ ἐν μεγάλῳ Ζηνὸς τάδε σώματι κεῖται.
Τοῦ δή τοι κεφαλὴν μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα
οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι d
ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται,
ταύρεα δ' ἀμφοτέρωθε δύο χρύσεια κέρατα,

a 6. ὑπολαμβάνοντες] ὑπολαμβάνοντα B. 8. μὲν] μὲν οὖν B. b 2. ὁ ζεὺς D. γένετο] γίνετο B. ἀργικέραυνος] τερπικέραυνος B. ἀρτικέραυνος D.F.G. 5. τέτυκται] τετύκτω B. 6. ἄφθιτος] ἄφοιτος C.F. c. ἀρχιγένεθλος] ἀρχήγονος ἔθλος A.H. 2. ἐν κράτος] ἔγκρατος A. 4. τάδε] τὰ τε B. 5. κυκλεῖται] καλεῖται C. 6. καὶ γαῖα] καὶ om. C.F.G. 7. ἦμαρ] ἡμέρα H. 8. πρῶτος γενέτωρ] πρωτογενέτωρ A.H. 10. μεγάλῳ Ζηνὸς] Ζηνὸς μεγάλῳ S. σώματα F. d 3. περικαλλεες] περὶ κάλλεσιν A. περικάλλεσιν H. περικαλέες C.F.G. Hinc usque ad ἐξηγησαμένων τὸν τρόπον om. B. 4. ἀμφοτέρωθε] ἀμφοτέρωσε C.D.E.F.G. Tum δύω A. et χρυσέα C.F.G.H.

cogita. Quippe, cum illi Jovem hujus mundi mentem esse crederent, quæ mundum ipsum in sese complexa, quicquid eo continetur procrearit; quæ sequuntur ex Orphei petita carminibus in theologiæ suæ libris de illo tradiderunt.

Jupiter omnia complexus, ex Orpheo.

Princeps postremusque Jovis, qui fulmine candet.
Ille caput, mediumque simul, cui cuncta creantur,
Mas natus Jovis est, natus Jovis integra virgo.
Ille solum, ac cœli stellatos sustinet axes.
Rex idem, rerumque parens, et originis auctor.
Unica vis, dæmonque unus, qui cuncta gubernat,
Omniaque hæc unus regali in corpore claudit,
Ignem, undam, terras, æthram, noctemque, diemque,
Consilium, ac primum genitorem, et numen amoris,
Hæc Jovis immenso sub corpore cuncta coercet.
Atque hujus caput eximium, vultusque decoros,
Irradians cœlum videas, cui pendula circum
Aureaque astrorum multo se lumine fundit
Cæsaries; geminumque alto stat vertice cornu
In tauri speciem, rutiloque accenditur auro:

ΠΟΡΦΥΡΙΟΥ

ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων,
ὄμματα δ' ἠέλιός τε, καὶ ἀντιόωσα σελήνη.
Νοῦς δέ (οἱ) ἀψευδὴς, βασιλήϊος, ἄφθιτος αἰθὴρ,
ᾧ δὴ πάντα κυκλεῖ καὶ φράζεται, οὐδέ τις (ἐστὶν)
αὐδὴ, οὔτ' ἐνοπὴ, οὔτε κτύπος, οὐδὲ μὲν ὄσσα,
ἣ λήθει Διὸς οὔας ὑπερμενέος Κρονίωνος.
Ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχει, ἠδὲ νόημα· p. 101
σῶμα δέ οἱ περιφεγγὲς, ἀπείριτον, ἀστυφέλικτον,
ὄβριμον, ὀβριμόγυιον, ὑπερμενὲς, ὧδε τέτυκτο.
Ὦμοι μὲν καὶ στέρνα, καὶ εὐρέα νῶτα θεοῖο,
ἀὴρ εὐρυβίης· πτέρυγες δέ οἱ ἐξεφύοντο,
τῇς ἐπὶ πάντα ποτᾶθ', ἱερὴ δέ οἱ ἔπλετο νηδὺς,
γαῖά τε παμμήτειρ', ὀρέων τ' αἰπεινὰ κάρηνα· b
μέσση δὲ ζώνη βαρυηχέος οἶδμα θαλάσσης,
καὶ πόντου· πυμάτη δὲ βάσις, χθονὸς ἔνδοθι ῥίζαι,

d 6. δύσις] δύσεις D. 9. δέ γε] δ' A.H. δὲ C.F.G. Leg. δέ οἱ ex Stobæo. ἄφθιτος] ἄφθαρτος H. 11. ᾧι] ὃς C.D.E.F.G. κυκλεῖ καὶ] κυκλοῖ τε καὶ C.F.G. κυκλοῖται D. κλύει καὶ S. κλύει conj. Heringa. ult. Ἡ λήθει Διὸς υἷα] ἡ λήθη sine υἷα C.F.G. ἠλίθιος υἱὸς A. ἠλήθιος υἱὸς H. Tum ὑπερμενέως C.F.G. οὔας pro υἷα Stobæus. Et sic edidi.

p. 101. 1. ἀθανάτην] ἀθανάτη C.F. ἔχεν] ἔχει C.D.F.G. ἔχων H. Mox ἠδ' ἐνὶ σῆμα S. ᾧ δ' ἐνὶ σῆμα Stobæi MSS. 3. ἀπείριτον] ἀπείρατον A. ἀπείριον C.F.G. statim ἀστυμφέλικτον C.F.G. 5. ὄβριμον] ἄτρομον Stob. qui mox τέτυκται. ὄβριμον ὀβριμόγυιον] ὄμβριμον ὀμβριμόγειον C.F.G. ὀβριμόγυον H. 6. τέτυκτο] τέτυκται D.F.G.H. 10. τῇ σ' ἔπι] τῆς ἐπὶ C. qui mox ποτᾶθ' ἱερή cum D.F.G. b. ὀρέων τ' αἰπ.] ἱρέων τ' ἐπ. C.F.G. 3. βαρυηχέος] βαρυηχέα [ες] A. βαρυήχεα H. qui supra ζώνην. 5. πυμάτη] πύματι C.

Ortus et occasus, superis nota orbita divis.
Sunt oculi Phœbus, Phœboque adversa recurrens
Cynthia. Mens verax, nullique obnoxius æther
Regius interitu, qui cuncta movetque, regitque
Consilio. Vox nulla potest, sonitusve, nec ullus
Hancce Jovis sobolem strepitus, nec fama latere.
Sic animi sensum, et caput immortale beatus
Obtinet: illustre, immensum, immutabile pandens,
Atque lacertorum valido stans robore corpus.
Olli humeri, pectus, nec non immania terga
Aërii late tractus: velocibus idem
Nativisque ruens circumvolat omnia pennis.
Omniparens tellus, quique alta cacumina tollunt
Montes, sacram alvum efficiunt: mediamque sonantis
Unda tumens Pelagi zonam. Basis ultima numen
Sustentans, terræ penitus radicibus imis,
Et vastis Erebi spatiis, quosque avia tellus

ΠΟΡΦΥΡΙΟΥ

Τάρταρά τ' εὐρώεντα, καὶ ἔσχατα πείρατα γαίης.
Πάντα δ' ἀποκρύψας, αὖθις φάος ἐς πολυγηθὲς
μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι, θέσκελα ῥέζων. c

3 Ζεὺς οὖν ὁ πᾶς κόσμος, ζῶον ἐκ ζώων, καὶ θεὸς ἐκ θεῶν· Ζεὺς
δὲ, καθὸ νοῦς, ἀφ' οὗ προφέρει πάντα καὶ δημιουργεῖ τοῖς
4 νοήμασι. Τῶν δὴ θεολόγων τὰ δὴ περὶ τοῦ θεοῦ τοῦτον
ἐξηγησαμένων τὸν τρόπον, εἰκόνα μὲν τοιαύτην δημιουργεῖν,
οἵαν ὁ λόγος ἐμήνυσεν, οὔθ' οἷόν τε ἦν, οὔτ', εἴ τις ἐπενόησε,
τὸ ζωτικὸν καὶ νοερὸν καὶ προνοητικὸν διὰ τῆς σφαίρας
5 ἐδείκνυεν. Ἀνθρωπόμορφον δὲ τοῦ Διὸς τὸ δείκηλον πε-
ποιήκασιν, ὅτι νοῦς ἦν καθ' ὃν ἐδημιούργει καὶ λόγοις σπερ- d
ματικοῖς ἀπετέλει τὰ πάντα· κάθηται δὲ, τὸ ἑδραῖον τῆς
δυνάμεως αἰνιττόμενος· γυμνὰ δὲ ἔχει τὰ ἄνω, ὅτι φανερὸς
ἐν τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσίν ἐστι·
[62] σκέπεται δὲ αὐτῷ τὰ πρόσθια, ὅτι ἀφανὴς τοῖς κάτω κεκρυμ-

b 7. Τάρταρά τ'] τὰ γὰρ ἄτ' A. τὰ γὰρ αὖτ' H. 8. γαίης] ζωῆς A.H. 9. Aristot. de Mundo c. 7. Clem. Alex. Str. V. c. 10, 123. *Πάντας γὰρ κρύψας καὖθις φάος ἐς πολυγηθὲς Ἐξ ἱερᾶς κραδίης ἀνενέγκατο, μέρμερα ῥέζων.* φάος om. C.D.F.G. 10. πολυγηθὲς] πολυγήθεο (ν superscr.) A. πολυγήθες H. 11. παλυθέσκελα ῥέζων] ἐπαληθὲς κελαρύζων A. ἐπαλυθὲς κελαρύζων H. παλιθ. ρ. C.F.G. παλυθέσκελα D. c 4. πάντα om. E. 5. τὰ δὴ] δὴ om. A.H. qui mox om. τοῦ cum H. τὰ περὶ τὸν θεὸν C.D.F.G. 6. ἐξηγ. τὸν τρ.] τὸν τρ. ἐξ. A.H. 8. οὔθ'] ὄνθ' B. 11. δείκηλον] δίκηλον A. δ' εἴκελον H. d 3. κάθηται] Vid. Suidas in v. Ζεύς. ἑδραῖον] ὑδραῖον C.F.G. 4. φανερὸς] φανὸς A.B.C.F.G.S.V. φανερῶς H. φανερὸς Suidas. 7. κεκρυμμένοις] κεκριμμένοις C.

Porrigit extremos, immota in finibus hæret.
Cuncta autem medio primum sub pectore condens,
Inde almam in lucem dio molimine profert.

Stobæus Ecl. I. 3, 25.
Allegorica Jovis explicatio.

3 Jupiter ergo mundus universus est, animans quidem ex animantibus, ac
deus ex diis: Jupiter vero, quatenus mens est, cujus ad notiones in lucem
4 cuncta profert, cunctaque molitur. Jam vero cum hunc in modum theo-
logi de numinis hujus natura partibusque disputarent, nec imago ejusmodi
aliqua fingi ac configurari posset, qualem ista nobis carmina repræsentant,
nec, si forte quispiam ejus elaborandæ rationem invenisset, figura tamen
sphærica satis vim illam cum vitalem, tum vero intelligentem ac providen-
5 tem exprimere potuisset: Jovis simulacrum humanam in speciem confor-
marunt, quod mens esset cujus in procreatione rerum exemplar intueretur,
cujus seminalibus quasi rationibus cuncta perficeret. Idem vero sedet, ut
immotam potestatis suæ constantiam utcunque significet: partes corporis
superiores nudas habet, quod in spiritalibus ac cœlestibus mundi partibus
sese illustrius spectandum exhibeat; inferiores contra tectas, quod in
infimis rebus penitusque reconditis absconditus ipse delitescat. Ac læva

ΠΟΡΦΥΡΙΟΥ

μένοις· ἔχει δὲ τῇ μὲν λαιᾷ τὸ σκῆπτρον, καθ' ὃ μάλιστα τῶν τοῦ σώματος μερῶν τὸ ἡγεμονικώτατόν τε καὶ νοερώτατον ὑποικουρεῖ σπλάγχνον ἡ καρδία· βασιλεὺς γὰρ τοῦ κόσμου, ὁ δημιουργὸς νοῦς· προτείνει δὲ τῇ δεξιᾷ ἢ ἀετὸν, ὅτι κρατεῖ τῶν ἀεροπόρων θεῶν, ὡς τῶν μεταρσίων ὀρνέων ὁ ἀετὸς, ἢ νίκην, ὅτι νενίκηκεν αὐτὸς πάντα.

6 Ταῦτά σοι ὁ Πορφύριος, ὧν τὸν εἰρημένον τρόπον p. 102
ἀποδεδομένων, ἠρέμα καὶ ἐπὶ σχολῆς ἐπιθεωρῆσαι καλὸν τίνα ποτὲ ἄρα τὸν Δία φασὶν εἶναι τὰ ἔπη. Ἐγὼ μὲν γὰρ οὐδὲ ἄλλον ἡγοῦμαι ἢ τὸν ὁρώμενον κόσμον ἐκ παντοίων συνεστῶτα μερῶν, τῶν τε κατ' οὐρανὸν καὶ αἰθέρα καὶ τῶν ἐν τούτοις φαινομένων ἄστρων, ὥσπερ ἐν μεγάλου σώματος κεφαλῇ προτεταγμένων, τῶν τε ἐν
7 ἀέρι καὶ γῇ καὶ θαλάσσῃ καὶ τοῖς παραπλησίοις. Μέρη γοῦν κόσμου καὶ γῆ καὶ ὄρη καὶ βουνοὶ, εἰλεῖταί τε αὐ- b
τῶν ἐν μέσῳ ζώνης τρόπον ἡ θάλασσα, καὶ πῦρ δὲ καὶ

d 12. δημιουργὸς] δημιουργικὸς A.H.S.V. Mox ἢ ἀετὸν om. B. ἢ om. H. 13. ἀεροπόρων] ἀεροφόρων A.H.S.V. Suidas. 14. ὀρνέων] ὀρνίθων H. ult. νενίκηκεν] ἐνίκησεν C.F. ἐνίκεσεν G.
p. 102. ὧν] ὃν C. 5. ἄλλο] ἄλλον A.C.D.F.G.H. οὐδὲν ἄλλον B.H. 6. παντοίων] πάντων A.H. τῶν μερῶν] τῶν om. B.C.D.F.G. 8. ἐν μ. σ. κεφαλῇ] ἐκ μ. σ. κεφαλὴ A.H. 10. θαλάσσῃ] θαλάττῃ A. b. τε αὐτῶν] δ' αὐτῶν A. ζώνης] ζωῆς F.

quidem sceptrum tenet, quod ex omnibus corporis humani partibus eo præsertim in latere cor illud cæterorum facile princeps, vimque intelligendi maximam complexum intestinum, tanquam in proprio domicilio conquiescat: quippe mens enim illa procreatrix hoc in orbe regnat: dextra vero aut aquilam protendit, quod aëris ipse diis, perinde ut aquila sublime volantibus avibus, dominetur; aut victoriam, quod idem omnia superarit.

6 Hæc tibi Porphyrius. Quibus hunc in modum expositis, operæ pretium fuerit attente otioseque contemplari, quem ista nobis carmina qualemque Jovem loquantur. Equidem non alium arbitror quam aspectabilem huncce mundum, ex multiplici partium varietate conflatum, quarum aliæ cœlestes atque ætheriæ cum sideribus in utraque regione collucentibus, ac principe loco, sic tanquam in magni corporis capite collocatis, aliæ vero aëriæ, terrestres, marinæ,
7 ac cæteræ id genus. Enimvero terra, montes, colles, partes utique mundi sunt, quarum in medio cinguli cujusdam instar mare volvi-

ὕδωρ νύξ τε καὶ ἡμέρα τῆς αὐτῆς εἶεν ἂν τοῦ κόσμου φύσεως μέρη. Ταῦτα δ' ἄντικρυς τὸν ὁρώμενον ὑποφαίνειν ἡγοῦμαι κόσμον, εἰ μή τι καὶ σφάλλομαι, καὶ
8 τὸ ὅλον ἐκ μερῶν συνεστὼς διδάσκει. Λέγει δ' οὖν,

Πάντα γὰρ ἐν μεγάλῳ Ζηνὸς τάδε σώματι κεῖται.

Καὶ τίνα τὰ πάντα διασαφεῖ,

Πῦρ, καὶ ὕδωρ, καὶ γαῖα, καὶ αἰθὴρ, νύξ τε, καὶ ἦμαρ.
Τοῦ δή τοι κεφαλὴν μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα c
οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι
ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται.

9 Καὶ τὰ τούτοις ἀκόλουθα· ἐν οἷς ἐπιφέρει τὸν νοῦν τοῦ Διὸς λέγων εἶναι τὸν αἰθέρα καὶ οὐδὲν ἄλλο, κατὰ τοὺς Στωϊκοὺς τὴν πυρώδη καὶ θερμὴν οὐσίαν τὸ ἡγεμονικὸν φάσκοντας εἶναι τοῦ κόσμου, καὶ τὸν θεὸν εἶναι σῶμα, d
καὶ τὸν δημιουργὸν αὐτὸν οὐδ' ἕτερον τῆς τοῦ πυρὸς

b 3. εἶεν ἂν] ἂν εἶεν B.C.F.G. 4. ὁρώμενον—στωϊκοὺς] ὁρώμενον κόσμον ἐκ παντοίων συνεστῶτα μερῶν τῶν τε κατ' οὐρανὸν καὶ αἰθέρα καὶ τῶν ἐν τούτοις φαινομένων ἄστρων, ὥσπερ οὐδὲν ἄλλο κατὰ τ. στωϊκοὺς B. 5. ἡγοῦμαι κόσμον] κόσμον ἡγοῦμαι H. 6. ἐκ μερῶν συνεστὼς] συνεστὼς ἐκ μ. A.H. 8. σώματι τὰ δὲ F.G. 11. γαῖα om. B. καὶ om. F.G.H. c. μὲν ἰδεῖν] ἰδέειν F. 3. αἱ χρύσειαι H. 8. τὴν π.] ἢ τὴν π. A.H. τὴν π.—οὐσίαν post κόσμου B.C.F.G.

tur: ignis autem, aqua, nox pariter atque dies in ejusdem quoque mundi naturæ partibus censeri ac numerari debent. His ergo palam aspectabilem hunc orbem repræsentari, suisque aptum ex partibus et constitutum universum exhiberi, nisi tamen erro, facile mihi persua-
8 serim. Sane enim Orpheus ita canebat,

Omniaque hæc unus regali in corpore claudit;

cujusmodi vero ista sint omnia, sic explicat,

Ignem, undam, terras, æthram, noctemque, diemque.
Atque hujus caput eximium, vultusque decoros
Irradians cœlum videas, cui pendula circum
Aureaque astrorum multo se lumine fundit
Cæsaries,

9 et quæ sequuntur: interque cætera subjicit, æthera Jovis mentem esse, nihilque aliud, quomodo Stoici philosophantur, dum calidam quidem igneamque naturam partem hujus mundi principem, deum vero corpus, ipsumque adeo summum architectum nihil nisi vim ac

5 καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. Ἀλλ' ἐπεὶ πάντα τὸν περὶ τούτων ἀπόρρητον δὴ καὶ μυστικώτερον λόγον εἰς ἀσωμάτους δυνάμεις μεταφορικῶς ἀνῆγον, ὥστε δοκεῖν μηκέτ' ἐπὶ τὰ ὁρώμενα μέρη τοῦ κόσμου τὴν θεοποιίαν αὐτῶν συντείνειν ἀλλ' ἐπί τινας ἀοράτους καὶ ἀσωμάτους δυνάμεις, σκεψώμεθα εἰ μὴ καὶ οὕτως c
μίαν χρὴ τὴν θείαν δυνάμιν ἀποθαυμάζειν, ἀλλ' οὐ πολ-
6 λὰς ἡγεῖσθαι. Οὐδὲ γὰρ ἐπεὶ πολλὰ σχήματα καὶ μέρη καὶ μέλη ὑφ' ἑνὶ σώματι δεδημιούργηται, τοσαύτας χρῆν ἡμᾶς τὰς ψυχὰς ἔχειν ἡγεῖσθαι, οὐδὲ τοσούτους ποιητὰς

a 9. ἀλλ' οἵ γε τὰς] τὰς om. A. γε τὰς om. C. ἀλλ' οἱ αὐτοὶ B. ἀλλ' οἱ τὰς D.G. ἄλλο γε sine τὰς H. 12. θεολόγου] ἐθεολόγουν ἀναθήματα A.H. b 2. ἤλλαξαν] ἠλλάξαντο D.F.G. 3. ἀφθάρτου om. A.H. 6. ἀπόρρητον] ἀπόρρητοι F. ἀπορρήτων καὶ δὴ H. 8. μηκέτ' ἐπὶ] μὴ B. c. τὴν θείαν δ.] τὴν δύναμιν τὴν θείαν B.C.F.G. 3. οὐδὲ γὰρ — ἡγεῖσθαι om. B. 4. ὑφ' ἑνὶ] ὑφ' ἑνὶ δὲ E. 5. ἡμᾶς] ἡμᾶς ἂν A.H. Tum ἡγεῖσθαι ἔχειν C.F.G. χρὴ E. pro χρῆν. 6. τοσούτους] τοὺς A.H.

Profani utique non nos, sed qui turpes adeo ac putidas de scarabeis, ac cæteris id genus animalibus ab omni ratione vacuis fabulas pro sapientiæ divinæ sensis venditarunt; qui, ut divinus apostolus loqui-
Rom. 1, 22. tur, *Dicentes se esse sapientes, stulti facti sunt:* utpote qui *mutaverunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis*
5 *hominis, et volucrum, et quadrupedum, et serpentium.* At enim, quoniam fabellarum istarum sensus arcanos scilicet ac mysteriis pleniores, in naturas corporis expertes tralatione quadam contulerunt, utique ne ad eas in posterum quæ cernuntur mundi partes, sed potius ad naturas aliquas nec subjectas oculis, nec in corpus immersas deorum suorum molitionem referre viderentur; spectemus illud etiam num longe præstet unam potius divinam colere ac venerari naturam,
6 quam plures esse arbitrari. Nam si multæ in uno eodemque corpore figuræ, partes variæ, diversaque membra elaborata sunt, non tamen continuo verum sit, aut nos totidem animabus præditos, aut tot

καὶ δημιουργοὺς τοῦ σώματος νομίζειν· ἀλλὰ καὶ ψυχὴν
μίαν τὸ πᾶν σῶμα κινεῖν, καὶ μίαν δημιουργὸν δύναμιν
7 τὸ πᾶν ζῶον τεκτήνασθαι. Οὕτω δῆτα καὶ ἐπὶ τοῦ
σύμπαντος κόσμου, ἑνὸς μὲν ὄντος καὶ ἐκ μιᾶς τῆς σω- d
ματικῆς ὕλης συνεστῶτος εἰς μέρη δὲ πλεῖστα διῃρη-
μένου, καὶ μίαν τῶν ὅλων φυσικὴν συμπάθειαν ὑποφαί-
νοντος, κρᾶσίν τε καὶ μίξιν τῶν ἐν αὐτῷ στοιχείων,
ἀλλοιώσεις τε καὶ μεταβολὰς αὐτῶν εἰς ἑαυτά, ὅλον δὲ
καὶ τὸ πᾶν ἕνα κόσμον καὶ μίαν ἁρμονίαν ἐπιδεικνυμέ-
νου, οὐ πολλὰς χρῆν ὑποτίθεσθαι δημιουργοὺς δυνάμεις,
μόνην δὲ [μίαν] θεολογεῖν, τὴν ὡς ἀληθῶς Θεοῦ δύναμιν
8 καὶ Θεοῦ σοφίαν. Ὁ δὲ καὶ τὰς Αἰγυπτιακὰς μυθολο-
γίας πάλιν ἐπὶ ἀσωμάτους μεταφέρει δυνάμεις, λαθὼν ὁ
σοφώτατος αὐτὸς ἑαυτόν. Ἀκήκοας γὰρ ἐν τοῖς πρό-
σθεν, ὅπως τὸν Χαιρήμονα καὶ πλείους ἄλλους ὡμολό- p. 119

c 9. τὸ πᾶν] πᾶν om. B.C.D.F.G. ζῶον] σῶμα H. 10. δὴ τὰ] δῆτα A.B.F. d. καὶ ἐκ] καὶ om. C.F. καὶ ἐκ om. G. 2. πλεῖστα] καὶ πλεῖστα D. 4. ὑποφαίνοντος] ὑπομένοντος B.C.F.G. τε καὶ] δὲ καὶ F. 6. ἑαυτὰ] αὐτὰ A.H. ἑαυτόν C.F.G. Mox παρ' H. pro πᾶν. 9. μίαν] θεῖαν C.F.G. om. A.H. 10. Θεοῦ δύναμιν] δύναμιν θεοῦ H. 14. ἀκήκοας—Πλούταρχον om. B.

unius corporis auctores atque architectos esse opinari: sed cum
unicam esse animam quæ totum corpus moveat, tum unam quoque
7 vim effectricem, quæ totum animantem molita sit. Eodem plane
modo de hac rerum universitate sentiendum. Cum unus sit mundus,
ex una similiter eademque corporea materia conflatus, quique cum
plurimas in partes dividatur, tum vero unam quandam atque natu-
ralem universarum consensionem præ se ferat, ac præter eorum
elementorum quæ ambitu suo continentur, partim temperationem
atque mixtionem, partim varias aliorum in alia mutationes, univer-
sum ipsum præterea, mundum unum atque una rerum omnium con-
cinnitate aptissimum exhibeat; non jam plures facultates illius effec-
trices ponere, sed unam tantum eamque vere *Dei vim, Deique sapien-* 1 Cor. 1, 24.
8 *tiam* divino quoque nomine celebrare oportuit. At noster ille philo-
sophus Ægyptiacas etiam fabulas ad easdem naturas corpore vacuas
traducere conatur. In quo suimetipsius homo consultissimus oblitus
est. Quippe audiisti enim superius, cum et Chæremonem et alios p. 92 b.

γει μὴ δ' ἄλλο τι πρὸ τῶν ὁρωμένων κόσμων ἡγεῖσθαι, ἐν ἀρχῆς τε λόγῳ τίθεσθαι τοὺς Αἰγυπτίους, τούτους γὰρ πάντα εἰς τὰ φυσικὰ καὶ οὐδὲν εἰς ἀσωμάτους καὶ
9 ζώσας οὐσίας ἑρμηνεύειν. Εἰ δὴ οὖν κατὰ τὴν αὐτῶν ὁμολογίαν Αἰγυπτίων ἦν τὸ μηδὲν ἀνάγειν εἰς ἀσωμάτους καὶ ζώσας οὐσίας, πάντα δὲ τὰ περὶ θεῶν αὐτοῖς μυθολογούμενα ἐπὶ τὰ φυσικὰ τοῦ κόσμου μέρη μεταφέρειν, τί δὴ ἐξ ὑπαρχῆς εὑρεσιλογοῦντες Αἰγυπτίοις τὰ μηδαμῶς αὐτῶν οἰκεῖα προσγράφετε, ἐπὶ δυνάμεις ἀσω-
[72] μάτους φάσκοντες αὐτοὺς τὴν ἀναφορὰν τῆς θεολογίας b
αὐτῶν ποιεῖσθαι; Καθόλου μὲν οὖν ταῦτα αἰτιατέον.

10 Καὶ ἐπὶ τῶν κατὰ μέρος δὲ ἡγοῦμαι τὸν ἔλεγχον τῆς κατηναγκασμένης ἀποδόσεως αὐτῶν οὐ μακρᾶς ἀνασκευῆς δεῖσθαι. Ἵνα γὰρ τὸν Αἰγυπτιακὸν παρελθών τις λῆρον καὶ τὴν πολλὴν αὐτῶν καὶ ἀδόλεσχον φλυ-

p. 119. 1. ὁρωμένων] εἰρημένων C.D.F.G. 2. κόσμων] κόσμον H. λόγῳ] λόγων A.H. 3. πάντα] πάντας A.H. 9. μέρη om. C.F.G. 10. εὑρεσιλογοῦντες] εὕρησ. A. εὑρεσιολογεῖν τοῖς C. εὑρεσιλογοῦντας Αἰγυπτίους D. εὑρεσιολογοῦντες F. εὑρεσιολογοῦντας G. 11. αὐτῶν οἰκεῖα] οἰκ. αὐτ. C.F.G. προσγράφετε] προσγράφουσιν A.H. προσγράφεται D. 12. φάσκοντες] φάσκοντας C.G. b 2. μὲν οὖν] οὖν om. A.H. 4. ἀποδόσεως] ἀποδώσεως C. 5. μακρᾶς] μικρᾶς A.H. 6. παρελθόντες D.

plerosque fateretur, nihil omnino præter mundos illos quos sensus perciperet agnovisse, adeoque tanquam omnium principes Ægyptios posuisse, quod ad rerum naturalium rationes omnia, nihil ad expertes
9 corporis viventesque naturas explicando revocarent. Si ergo vel istorum confessione proprium id Ægyptiorum fuit, nihil ut ad expertes corporis viventesque naturas traducerent, sed quæcunque de diis fabulabantur, ea ad partes mundi naturales omnia revocarent; quorsum tandem nova ex integro commenta somniantes, Ægyptiis aliena quæque assignatis, eosque theologiam suam in naturas ab omni sejunctas materia contulisse dictitatis? Atque hoc modo quic-
10 quid ab istis excogitatum est, confutari universum potest. Jam vero ut singularum partium coactam adeo atque violentam accommodationem refellamus, non longa nobis oratione opus esse arbitror. Enimvero, ut Ægyptiorum deliramentis, ac stolida nugarum anilium con-

αρίαν ἐπὶ τὰς τῶν σοφῶν Ἑλλήνων μετέλθοι φυσιολο-
γίας, τίς οὐκ ἂν τῶν εὖ φρονούντων αὐτόθεν καταμέμ-
11 ψαιτο τοῖς τὰ τοιαῦτα παρεξηγεῖσθαι πειρωμένοις; Ἔστω
γὰρ ὁ Ζεὺς μηκέθ' ἡ πυρώδης καὶ αἰθέριος οὐσία, ὥσπερ c
οὖν τοῖς παλαιοῖς ἐνομίζετο κατὰ τὸν Πλούταρχον, ἀλλ'
αὐτὸς ὁ ἀνωτάτω νοῦς, ὁ τῶν ὅλων δημιουργὸς, ὁ τὰ
πάντα ζωογονῶν· πῶς οὖν ἔσται τούτου πατὴρ μὲν ὁ
Κρόνος, ὅν φασιν εἶναι τὸν χρόνον, Ῥέα δὲ μήτηρ, ἣν
ὁ ἑρμηνεὺς ἔφησεν εἶναι τὴν πετρώδη καὶ ὄρειον δύν-
αμιν; Τὴν γὰρ Ἥραν οὐκ οἶδ' ὅπως τὸν ἀέρα τὸν καὶ
αἰθέρα προσειπὼν, ἀδελφὴν ὁμοῦ καὶ γυναῖκά φησιν
12 εἶναι τοῦ κοσμοποιοῦ καὶ ζωοποιοῦ πάντων νοῦ. Ἀλλὰ
καὶ ἡ Λητὼ πάλιν ληθώ τις καλείσθω, διὰ τὴν κατὰ d
τὸν ὕπνον, ὥς φασιν, ἀναισθησίαν, καὶ ὅτι λήθη ξυνο-
μαρτεῖ ταῖς ὑπὸ σελήνην γενομέναις ψυχαῖς. Πῶς ἂν
οὖν ἡ λήθη γένοιτ' ἂν ἡλίου καὶ σελήνης μήτηρ, Ἀπόλ-

b 9. αὐτόθεν om. A.H. Uterque supra om. τίς. 11. ἔστω] ἔσται A.H. μηκέθ' ἡ] μηκέτι A.H. c. παλαιοῖς] πολλοῖς D. γρ. S.V. 3. ἀνωτάτω] ἀνώτατος B. δημιουργὸς] δημιουργικὸς A.B.C.F.G. Mox τὰ om. B.C.F. 6. μήτηρ] ἡ μ. B.C.D.F.G. 7. τὴν γὰρ] τὴν γῆν B. 8. τὸν καὶ] καὶ τὸν A.C.F.G. Mox προσεῖπον H. 10. καὶ ζωοποιοῦ] τῶν A. τοῦ H. d 3. λήθη] λητὼ A. γρ. S.V. λήθω ξυν μορτεῖ τὰς H. Mox πῶς οὖν ἂν ἡ λητὼ H.

gerie prætermissa, ad politorum Græcorum physiologiam transeamus:
quis obsecro sanæ mentis, eos qui tam alienum in sensum ejusmodi
fabulas detorquere conantur, non suopte ingenio confutare, atque
11 ex figmentorum ipsorum ratione possit? Nam esto sane Jupiter, Jupiter mundi mens esse non potest.
non jam ignea ætheriaque natura, ut veteres auctore Plutarcho sta-
tuebant, sed potius mens illa suprema rerum molitrix universarum,
quas vi etiam vitali foveat: quomodo igitur Saturnus, quem tempus v. supra p. 86 c.
esse aiunt, pater ejus erit, Ops vero mater, quam interpres noster
lapidosam ac montanam vim esse confirmat? Nam Junonem sane,
quam sive aërem, sive æthera quoque nominavit, quomodo mentis
illius mundi effectricis, rebusque omnibus vitam largientis sororem
12 simul et uxorem esse velit, equidem non intelligo. Præterea Latona Latona, non Solis, mater.
per me ληθὼ quædam, id est oblivio, nuncupetur, partim quod sen-
tiendi vis, ut aiunt, somni tempore nulla sit, partim quod animis illis,
quos infra lunam procreari contingit, oblivio comitetur: qui ergo

λωνος καὶ Ἀρτέμιδος τῶν Λητοῦς παίδων εἰς ἥλιον καὶ
13 σελήνην μετενηνεγμένων; Τί δὲ χρὴ σέβειν ὡς θεὸν
τὴν Ῥέαν ἢ τὴν Δήμητραν, εἰ ἡ μὲν τῆς πετρώδους καὶ
ὀρείου γῆς, ἡ δὲ τῆς πεδιάδος τὰ σύμβολα φέρειν ἐλέ-
γετο; Τὴν δὲ Κόρην τὸν κόρον ἀλληγοροῦντες, τίνι
λόγῳ καὶ ταύτην οἴονται δεῖν τῇ σεβασμίῳ προσηγορίᾳ
14 τιμᾶν; Τί δὲ μᾶλλον τὴν σπερματοῦχον δύναμιν, καὶ
τὴν τῶν ἀκροδρύων γένεσιν, ἢ τῶν κατὰ τὸ ἔαρ προφαι-
νομένων ἀνθέων καὶ πρὶν τελεσιογονῆσαι διαρρεόντων,
ἢ τῆς τῶν τελείων καρπῶν ἐκτομῆς τὰ σύμβολα, Διό-
νυσον καὶ Ἄττιν καὶ Ἄδωνιν ἐπονομάζοντας, ὡς θεοὺς p. 120
χρῆναι σέβειν, οὐχὶ δὲ τούτων ἁπάντων τὸ ἀνθρώπειον
γένος προτιμᾶν, ᾧ ταῦτα πρὸς χρῆσιν καὶ τροφὴν ὁ τῶν
ὅλων δημιουργὸς Θεὸς ὑπεστήσατο;
15 Μεταβὰς δὲ ἐκ τούτων, καὶ τὰ λοιπὰ κατὰ τὸν ὅμοιον

d 6. μετενηνεγμένων] μετηναγκασμένων C.F.G. μετηνεγμένων H. Mox δαὶ A. τὴν Ῥέαν ἢ] τὴν ἥραν ἢ B.C.D.F.G. καὶ A.H. pro ἢ. 7. εἰ ἡ μὲν] ἡ μὲν γὰρ A.H. 9. ἐλέγετο] ἐλέγοντο B.C.F.G. τήν τε] τὴν δὲ A.B.C.F.G.H. 10. σεβασμίῳ] σεπτῇ B. σεβασμίᾳ C.F.G. 11. τί δὲ] τὶ δαὶ A. 12. ἀκροδρύων] ἀκ. δύναμιν H. 13. ἀνθῶν] ἀνθέων B.C.F.G.

p. 120. 1. καὶ Ἄδωνιν om. B. 4. θεὸς om. D.F.G.

fieri potest, ut solis ac lunæ mater oblivio sit, Apolline ac Diana
13 Latonæ liberis in solem lunamque traductis? Jam cur tanquam
deum aut Opem aut Cererem venerari oporteat, si altera quidem
lapidosi ac montani, altera vero plani patentisque soli symbolum
quoddam esse dicatur? Qua ratione Κόρην, hoc est Proserpinam,
quam ipsi κόρον, satietatem interpretantur, venerando illo nomine
14 appellandam esse opinentur? Cur item Bacchum, Attin, et Adonin
divino cultu prosequendos esse contendunt, quos modo vim semina-
lem, ac fructuum eorum quibus ligni simile putamen est, modo vel
florum qui primo vere cum excludantur, necdum integro maturoque
fructu decidunt, vel messis fructuum maturorum symbola nuncupant;
nec, quod longe verius erat, humanum ipsum genus rebus iis, quas
universi conditor Deus eo tantum esse voluit, ut ei ad usum et
15 alimentum in promptu essent, æstimatione anteponunt? Ex his,

τρόπον τῆς γενναίας ἀπελέγξεις φυσιολογίας, εὐλόγως
τῆς ἀναισχυντίας ἐπιμεμψάμενος τοῖς, φέρε, τὸν ἥλιον
αὐτὸν εἶναι τὸν Ἀπόλλω, καὶ πάλιν τὸν Ἡρακλέα, καὶ
αὖθις τὸν Διόνυσον, καὶ τὸν Ἀσκληπιὸν ὁμοίως ἀποφη- b
16 ναμένοις. Πῶς γὰρ ὁ αὐτὸς πατὴρ ἂν γένοιτο καὶ υἱὸς,
Ἀσκληπιὸς ὁμοῦ καὶ Ἀπόλλων; Πῶς δὲ πάλιν εἰς
Ἡρακλέα μετενεχθείη, εἰ δὴ ἐκ θνητῆς γυναικὸς τῆς
Ἀλκμήνης ὁ Ἡρακλῆς αὐτοῖς ὡμολόγηται; Πῶς δ' ἂν
ἐμμανὴς γένοιτο, καὶ σφάξειε τοὺς ἑαυτοῦ παῖδας ὁ
ἥλιος, ὅτι δὴ καὶ ταῦτα προσαναγέγραπται τῷ Ἡρα-
17 κλεῖ; Ἀλλὰ τοὺς ἄθλους ἐπιτελοῦντα τοὺς δώδεκα τὸν
Ἡρακλέα τῆς κατ' οὐρανὸν διαιρέσεως τοῦ ζωδιακοῦ
κύκλου, ὃν φασι τὸν ἥλιον περιπολεῖν, τὸ σύμβολον c
φέρειν. Τίς οὖν ἔτι γένοιτ' ἂν Εὐρυσθεὺς, ὁ τῷ ἡλίῳ,
ὥσπερ οὖν τῷ Ἡρακλεῖ, τοὺς ἄθλους ἐκτελεῖν ἐπιτάτ-
των; Πῶς δὲ ἐπὶ τὸν ἥλιον ἀναχθεῖεν αἱ πεντήκοντα

a 6. τρόπον] τρόπον καὶ D. 7. ἀπελέγξεις] ἀπελέγξειν τῆς A.H. Mox τὴν ἀναισχυντίαν H. 8. ἐπιμεμψάμενος] ἐπιμεμψόμενος D. b. ἀποφηναμένοις] ἀποφαινομένοις A.H. 3. ὁμοῦ om. A. ὅμου ἀσκληπιὸς H. 5. γυναικὸς] γυναῖκα F. 6. ὁμολογεῖται] ὡμολόγηται B.C.F.G. αὐτῆς ὡμολόγηται D. 7. σφάξειε] τάξειε B. 9. τοὺς] καὶ τοὺς C.F.G. Supra προαναγ. F.G.H. c 2. ἔτι γέν.] ἔτι om. B.C.D.F.G.H. Attamen in H. ἔτη ponitur ante Εὐρυσθεύς. 4. δὲ] δαὶ A. δὲ καὶ B.C.D.F.G.

si ad reliqua descendere lubeat, quicquid ex præclara physiologia
superest similem in modum facile coargues, adeoque homines istos
impudentiæ jure postulabis, qui unum eundemque solem, ut hoc
præcipue seligam, non Apollinem modo, sed etiam Herculem, et
16 Bacchum, et Æsculapium esse statuerunt. Nam quo modo pater
idem fuerit simulque filius, Apollo, inquam, et Æsculapius? Quo-
modo ipse ad Herculem traducatur, cum Alcmena matre mortali
utique muliere natum ipsimet Herculem esse fateantur? Quomodo
sol in furorem actus liberos suos jugularit? nam utrumque sane
17 Herculi attribuitur. At Herculem nimirum, qui duodecim illa cer-
tamina confecerit, zodiaci circuli, quem solem aiunt sua conversione
lustrare, in duodecim animantia divisionem repræsentare dictitant.
Quem ergo nobis Eurystheum assignabunt, qui solem, quemadmo-
dum et Herculem, ejusmodi certamina conficere jubeat? Quomodo

Ad Solem male alia numina revocari.

Θεστίου θυγατέρες, καὶ τὸ τῶν λοιπῶν αἰχμαλωτίδων
πλῆθος, αἷς τὸν Ἡρακλέα λόγος ἔχει μιγῆναι, ἐξ ὧν
καὶ θνητοὶ παῖδες αὐτῷ γενόμενοι ἐπιμήκιστον τὴν τῶν
γενῶν παρέτειναν διαδοχήν; Τίς δ' ἂν εἴη ὁ κένταυρος,
οὗ τῷ αἵματι τὸν χιτῶνα μολύνασα ἡ Δηϊάνειρα, τὸν
ἥλιον, ὥσπερ οὖν τὸν Ἡρακλέα, τῇ δεδηλωμένῃ περι- d
18 βάλοι ἂν συμφορᾷ; Ἀλλὰ γὰρ μηκέτ' ἔστω ὁ ἥλιος
αὐτοῖς Ἡρακλῆς, ἔστω δὲ ὁ Διόνυσος· καὶ τί ταῦτα
πρὸς τὸν Διόνυσον φαίη τις ἂν εἰκότως. Τίς γὰρ ἡ
τοῦτον γεννήσασα, εἴτε Σεμέλη τις λέγοιτο, εἴτε Περ-
σεφόνη; Πῶς δ' ἂν εἴη ὁ Διόνυσος ὁμοῦ καὶ ἥλιος, καὶ
[73] ἡ κατὰ τοὺς ὑγροὺς καρποὺς καὶ τὰ ἀκρόδρυα βλαστῶσα
δύναμις; Τί δ' ἂν γένοιτο τῶν συστρατευσαμένων αὐτῷ
γυναικῶν τὸ πλῆθος; Τίς δὲ καὶ ἡ τοῦ ἡλίου, ὥσπερ οὖν
ἡ τοῦ Διονύσου, Ἀριάδνη; Τί δὲ μᾶλλον οἴνου, οὐχὶ δὲ
σίτου καὶ ὀσπρίων καὶ τῶν ἀπὸ γῆς ἁπάντων καρπῶν

c 6. αἰχμαλ.] τῶν αἰχμαλ. F. d 2. περιβάλλοι] περιβάλοι A. Vigeri margo. 4. δὲ Διόν.] δ' ὁ Διόν. B.C.G. δὲ ὁ Δ. D.F. καὶ ταῦτα πρὸς] καὶ ὅτι τὰ πρὸς A.H. καὶ τί ταῦτα B.C.D.F.G. 6. σελήνη] σεμέλη A.B.F.G. γρ. S. σελήνην et mox Περσεφόνην D. 7. ἥλιος καὶ ἡ] ὁ ἥλιος καὶ ὁ B. 9. τί δ'] τίς δ' C.F.G. 11. δὲ] δαὶ A. τί δὲ H. ἡ τοῦ] καὶ ἡ τοῦ C.F.G.

autem quinquaginta Thestiæ filiæ, ac reliquum captivarum vulgus, quibuscum rem habuisse Herculem fama est, ad solem ipsum referentur? Quibus ex omnibus suscepti ab eo liberi gentis suæ seriem longissimo tempore propagarint. Quem porro nobis centaurum fingent, cujus sanguine infectum a Deianira indusium solem, veluti
18 Herculem, in decantatam illam calamitatem induerit? At demus enim istis, solem non amplius esse Herculem, Bacchum esse. Non absimilia profecto circa Bacchum objicere quivis merito possit. Primum enim, qua matre genitum Bacchum esse dicent? Luna, an Proserpina, susque deque. Nam quomodo Bacchus idem et sol, et vis simul illa fuerit, quæ sese partim in humidioribus fructibus, partim in nucibus exerit? Deinde, quorsum illa mulierum ejus militiæ comitum multitudo pertineat? Quænam solis, quemadmodum illa Bacchi, Ariadne commemorari queat? Cur vini potius, quam aut frumenti, aut leguminum, ac cæterorum omnium quos

γένοιτ᾽ ἂν χορηγὸς ὁ Διόνυσος ἐπὶ τὸν ἥλιον μεταγόμε- p. 121
19 νος; Εἰ δὲ καὶ Ἀσκληπιὸς αὐτοῖς πάλιν εἴη ὁ ἥλιος, πῶς οὗτος ὑπὸ τοῦ Διὸς κεραυνοῦται ῥυπαρᾶς ἕνεκεν αἰσχροκερδείας, κατὰ τὸν Βοιώτιον μελοποιὸν Πίνδαρον ὧδέ πως λέγοντα,

> Ἔτραπε κἀκεῖνον ἀγάνορι μισθῷ
> χρυσὸς ἐν χερσὶν φανείς,
> ...χερσὶ δ᾽ ἄρα Κρονίων
> ῥίψαις δι᾽ ἀμφοῖν ἀμπνοὰν στέρνων καθέλεν
> ὠκέως· αἴθων δὲ κεραυνὸς ἐνέσκηψε μόρον. b

20 Τίνες δὲ καὶ οἱ ἐξ ἡλίου Ἀσκληπιάδαι, εἰς μακρὸν τοῦ βίου διαφυλαχθέντες, καὶ θνητῶν ἀνδρῶν γένεσιν πᾶσιν ἀνθρώποις παραπλησίαν ὑποστησάμενοι; Πλὴν ἀλλὰ πάλιν αὐτοῖς, ὥσπερ διὰ μηχανῆς, τὰς αἰσχρὰς καὶ μυθικὰς περὶ θεῶν διηγήσεις ἀποφεύγουσιν, εἰς ἥλιον

d ult. χορηγὸς ὁ Διόν.] ὁ Διόν. χορ. A.H.
p. 121. 1. αὐτοῖς πάλιν] πάλιν αὐτοῖς A. πάλιν αὐτὸς H. 2. ὑπὸ τοῦ Δ. κερ.] κερ. ὑπὸ τ. Δ. A.H. τοῦ om. B.C.F.G. 3. αἰσχροκερδείας] αἰσχροκερδίας B. 4. βοιώτιον] βοιωτικὸν C. 6. ἔτραπεν ἐκεῖνον] ἔτρεπε κἀκεῖνον A.H. ἔτραπε κἀκεῖνος B.C.D.F.G. Tum ἄνορι B. 10. ῥίψαις] ῥίψας D.F.G. Steph. et mox ἀμπνοάς. ἀνπνοὰς H. 11. καθέλεν] καθεῖλεν F. b 2. ἐνέσκηψε] ἔσκηψε D.F.G. 9. εἰς ἥλ.] πρὸς ἥλ. A.H.

terra procreat fructuum auctor, si semel idem qui sol fuerit, Bacchus
19 habeatur? Quod si Æsculapium solem esse velint, quomodo is ob turpem et infamem quæstum Jovis fulmine conflagravit, sicut his versibus Bœotius ille ac lyricus vates Pindarus cecinit, Æsculapius fulmine conflagravit. Pindar. Pyth. III. 97.

> Perpulit ipsum grandi pretio
> Ardens patenti aurum in manu.
> Tum Saturno satus
> Fulmen per ambos dextera
> Torquens, animam
> Illico tollit, feraque
> Dat eos flamma neci.

20 Quinam a sole orti Asclepiadæ, qui cum ad plura sæcula genus suum propagarint, tum vero mortalium virorum seriem cunctis hominibus nascendi conditione similem affinemque procrearint? Quanquam, hominum istorum sane dum flagitiosas ac turpes numi-

καὶ σελήνην καὶ τὰ λοιπὰ τοῦ κόσμου μέρη ἀνατρέχοι
21 ἂν ὁ λόγος. Εἴ γε πῦρ μὲν ἦν αὐτοῖς ὁ Ἥφαιστος καὶ c
ἡ θερμὴ δύναμις, Ποσειδῶν δὲ ἡ ὑγρὰ οὐσία, Ἥρα δὲ ὁ
ἀὴρ, καὶ γῆ πάλιν, ἡ μὲν ὄρειος καὶ πετρώδης, Ῥέα, ἡ
δὲ πεδινὴ καὶ γόνιμος, Δημήτηρ, καὶ Κόρη δὲ ἡ σπερ-
ματοῦχος, καὶ Διόνυσος ἡ φυτευτικὴ τῶν ἀκροδρύων
δύναμις, καὶ ἥλιος Ἀπόλλων σὺν τοῖς κατειλεγμένοις,
σελήνη δὲ, ποτὲ μὲν Ἄρτεμις, ποτὲ δὲ Ἀθηνᾶ, καὶ πά-
λιν Ἑκάτη, καὶ Εἰλείθυια, οὐκοῦν πάλιν τὴν κτίσιν
παρὰ τὸν κτίστην, καὶ τὴν δημιουργίαν τοῦ παντὸς ἀλλ'
οὐ τὸν δημιουργὸν θεολογοῦντες ἀπελέγχονται, λίαν
ἐπισφαλῶς καὶ ἐπικινδύνως καὶ ἐπὶ κακῷ τῆς ἰδίας αὐ- d
22 τῶν κεφαλῆς. Εἰ δὲ μὴ τὰ ὁρώμενα σώματα ἡλίου καὶ
σελήνης καὶ ἄστρων μηδέ γε τὰ αἰσθητὰ μέρη τοῦ κό-
σμου φήσουσι θεοποιεῖν, ἀλλὰ τὰς ἐν τούτοις ἀοράτους
δυνάμεις αὐτοῦ δὴ τοῦ ἐπὶ πᾶσιν, (ἕνα γὰρ ὄντα Θεὸν

b 9. καὶ τὰ] καὶ om. B. c. εἴ γε] εἴπερ B. 4. πεδινὴ καὶ γόνιμος] γόν. καὶ πεδ. A.H. 5. Κόρη τε] καὶ κόρη δὲ A.H. 8. τότε—πότε] ποτὲ—ποτὲ A.H. Tum ἡ Ἄρτ. C.D.F. 9. Εἰλήθ.] εἰλείθ. C. 10. οὐκοῦν—μυχοῖς om. B. 13. λίαν—κεφαλῆς om. A.H. d 3. μηδέ γε] γε om. A.H. 4. τὰς ἐπὶ τούτοις F.

num suorum fabulas quasi machina quadam effugiunt, ad solem
21 lunamque scilicet, ac cæteras mundi partes recurrat oratio. Tamen,
si Vulcanum ignem calidamque vim esse volunt, si Neptunum humidam naturam, Junonem aërem, Opem montanum lapidosumque solum, Cererem vero planum ac fertile: si Proserpinam vim seminalem, Bacchum vero nucum similiumque plantarum virtutem: si solem Apollinem, ac reliquos superius nominatos, lunam autem modo Dianam, modo Palladem, modo vel Hecaten, vel Lucinam: profecto agnoscant necesse est, sese rejecto creatore creaturas, ipsamque universi molitionem, non ejus molitorem dei loco venerari: qui quidem gravis nimium periculosusque lapsus est, atque ejusmodi,
22 qui salutem propriam certum in exitium conjiciat. Sin autem responderint, se nequaquam aut ea quæ videntur solis ac lunæ siderumque corpora, aut alias quæ in sensum incurrunt mundi partes, sed tantum iis inclusas aspectumque fugientes veri numinis cunctaque

παντοίαις δυνάμεσι τὰ πάντα πληροῦν, καὶ διὰ πάντων διήκειν, καὶ τοῖς πᾶσιν ἐπιστατεῖν, ἀσωμάτως δὲ καὶ ἀφανῶς ἐν πᾶσιν ὄντα, καὶ διὰ πάντων διήκοντα, καὶ τοῦτον εἰκότως διὰ τῶν δεδηλωμένων σέβειν φασὶ,) τί δῆτα τοιγαροῦν οὐχὶ τὰς αἰσχρὰς καὶ ἀπρεπεῖς περὶ θεῶν μυθολογίας ὡς ἂν ἀθέσμους καὶ ἀσεβεῖς παραιτησάμενοι, καὶ αὐτάς γε τὰς περὶ τούτων βίβλους, ὡς δυσσεβῆ καὶ ἀκόλαστα περιεχούσας, ἀφανεῖς ποιήσαντες, τὸν ἕνα καὶ μόνον καὶ ἀόρατον Θεὸν γυμνῶς καὶ p. 122
καθαρῶς καὶ ἄνευ τινὸς αἰσχρᾶς περιπλοκῆς ἀνυμνοῦσι;
23 Τοῦτο γὰρ δέον ἦν ποιεῖν τοῖς τἀληθὲς ἐπεγνωκόσι, μηδὲ κατάγειν καὶ καταβάλλειν εἰς αἰσχρὰς καὶ ἐμπαθεῖς ἀρρητολογίας τὴν σεβάσμιον τοῦ Θεοῦ πρόσρησιν· ἀλλὰ μηδ' ἐν οἰκίσκοις καὶ σκότου μυχοῖς ἀνδρῶν τε οἰκοδομαῖς σφᾶς αὐτοὺς ἐναποκλείειν, ὡς ἔνδον εὑρήσοντας τὸν

d 8. δὲ καὶ] δὲ om. A.H. ἀφανῶς καὶ ἀσωμ. C.F.G. 9. πάντων] πάντων τε C.F.G. 10. σέβειν om. A.H. supra δεδηλουμένων D. pen. αὐτάς γε] αὐτά τε A.H. ult. ἀόρατον] καὶ ἀόρ. A.C.F.G.
p. 122. αἰσχρᾶς] αἰσχρᾶς τούτων D. ἄνευ τέχνης αἰσχρᾶς τινὸς καὶ H. 2. δέον ἦν] ἦν δέον C. ᾖ δέων F. ἦν δέων G. Mox μὴ pro μηδὲ C.F.G. 5. ἀρρητολογίας] ἀρρητουργίας C.D.F.G. Mox πρόρρησιν D. 7. οἰκοδομαῖς] οἰκοδομίαις B.C.D.F.G.

moderantis vires consecrare; (deum enim, cum unus ipse sit, omnis generis virtutibus universa complere, ac per omnia diffusum, rebus quoque omnibus præsidere; adeoque ipsum, qui sine corpore sensibus obnoxio rebus insit omnibus omnesque pervadat ac permeet, sese per ea quæ diximus jure ac merito colere venerarique defendunt.) Quid ni ergo, turpibus et indignis deorum fabulis, tanquam infandis, et impiis valere jussis, ac simul libris omnibus, quibus tantum impietatis ac flagitiorum continetur, funditus exterminatis, unum solumque Deum, quem sensus non attingit, nude ac sincere, et
23 absque fœdo quocunque involucro prædicant. Hoc enim eos facere oportuit, qui verum cognovissent, non autem venerandum illud Dei nomen ad turpes, flagitiosas, dictuque horrendas fabulas abjicere: imo, nec in tuguriis, abditisque tenebrarum latibulis, aut excitatis hominum arte domunculis semetipsos includere, quasi Deum intus reperturi essent; nec in simulacris ex inanima conflatis materia,

Θεὸν, μηδ' ἐν ξοάνοις ἐξ ἀψύχου πεποιημένοις ὕλης τὰς θείας τιμᾶν οἴεσθαι δυνάμεις, μηδὲ μὴν γεώδεσιν ἀτμοῖς
αἱμάτων καὶ λύθρου, καὶ νεκρῶν ζώων αἵμασι κεχαρι- b
24 σμένα τῷ Θεῷ πράττειν νομίζειν. Τούτων δὲ ἁπάντων ὡς ἂν πλάνης δεσμῶν ἀπολυθέντας, χρῆν δήπου τοὺς σοφοὺς καὶ μετεωρολέσχας πᾶσιν ἀνθρώποις τῆς φυσικῆς θεωρίας ἀφθόνως κοινωνεῖν, μονονουχὶ γυμνῶς προκηρύττοντας ἅπασι, μὴ τὰ φαινόμενα, τὸν δ' ἀφανῆ δημιουργὸν τῶν φαινομένων μόνον ἀποθαυμάζειν, καὶ τὰς ἀοράτους αὐτοῦ καὶ ἀσωμάτους δυνάμεις ἀοράτως
καὶ ἀσωμάτως θρησκεύειν, οὐ πῦρ ἅψαντας, οὐδέ γε c
κριὸν καὶ ταῦρον θυσαμένους, ἀλλ' οὐδὲ στεφάνοις καὶ ξοάνοις καὶ ναῶν οἰκοδομαῖς τὸ θεῖον τιμᾶν οἰομένους,
[74] λογισμοῖς δὲ κεκαθαρμένοις καὶ δόγμασιν ὀρθοῖς καὶ ἀληθέσι τοῦτο πράττοντας, ἐν ἀπαθείᾳ ψυχῆς καὶ τῇ πρὸς αὐτὸν κατὰ τὸ δυνατὸν τῆς ἀρετῆς ὁμοιώσει.
25 'Αλλ' οὐδείς γε πώποτε, οὐ βάρβαρος, οὐχ Ἕλλην, πᾶσιν

a 11. μὴν] τὴν B. b. λύθρου] λύθροις B.D.F.G. γρ. S. λίθροις C. 3. ἀπολυθέντας] ἀπολυθέντες B. qui mox om. καὶ μετεωρ. 8. τὸν δ' ἀφανῆ om. C.F.G. c 2. θυσαμένους] θυσομένους A.H. qui statim om. ἀλλ'. 3. οἰκοδομαῖς] ἀνοικοδομαῖς A.H. 7. κατὰ τὸ δυνατὸν ἀρετῆς. ἀλλ' οὐδ' εἴ γε H.

divinas virtutes colendas esse, nedum terrenis quibusdam fœdi sanguinis vaporibus, ac cæsarum animantium cruore, veluti jucundo
24 quodam officio conciliandum sibi deum arbitrari. Verum erat utique sapientes istos, nihilque nisi arduum ac cœleste loquentes, hisce omnibus quasi errorum vinculis expeditos, humanum genus absque invidia hujus in naturalis speculationis partem ac societatem vocare; nudoque prope dixerim capite omnibus prædicare, non jam ista se quæ cernuntur oculis, sed eum solum, quem nemo videat, istorum omnium architectum suspicere, ac simul facultates ejus incorporeas aspectumque fugientes, cultu pariter neque corporeo, neque sensibus obvio venerari: neque jam igne succenso, neque arietibus taurisve mactatis, imo neque coronis, neque signis, neque templorum substructionibus divinum numen colendum putare, sed purgata mente, sana veraque doctrina, vacuo perturbationibus animo, vita denique sua, quantum homini fas est; ad divinam illius imaginem virtutis
25 ope conformanda, suum ei cultum exhibere. At nemo sane nemo

ἀνθρώποις ταύτης κατῆρξε τῆς ἀληθείας, ἢ μόνος ὁ ἡμέτερος σωτήρ· ὃς δὴ τῆς παλαιᾶς πλάνης πᾶσι τοῖς d ἔθνεσιν ἀποφυγὴν προκηρύξας, τοῖς πᾶσιν ἀφθόνως εὕρατο τὴν πρὸς τὸν ἀληθῆ καὶ μόνον τῶν ὅλων Θεὸν ἐπιστροφήν τε καὶ εὐσέβειαν· οἱ δὲ τηνάλλως σοφοὶ τοῦ βίου τὴν ἀνωτάτω φιλοσοφίαν αὐχήσαντες, ᾗ φησὶν ὁ θεῖος ἀπόστολος, γνόντες Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ ηὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φήσαντες γοῦν εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας.

14 Μετὰ γοῦν τὴν μακρὰν καὶ πολλὴν φιλοσοφίαν, καὶ p. 123 μετὰ τὰς σεμνὰς μετεωρολογίας καὶ φυσιολογίας, ἄνωθέν ποθεν ὡς ἀφ' ὑψηλοτάτης ἀκρωρείας καταπίπτοντες σὺν τοῖς πλήθεσι κατεσύροντο, καὶ τῇ τῶν παλαιῶν b

d. τοῖς] ἀνθρώποις F. 2. προκηρύξας] κηρύξας B. 3. εὕρατο] εὕρετο A. δεδώρηται H. ἁπάντων] ὅλων A.H. 5. τοι ἄλλοι] τὴν ἄλλως A.C.H. τηνάλλως B. γρ. S. τηνάλως F.G. 8. ηὐχαρίστ.] εὐχαρ. A.H. 9. λογισμοῖς] διαλογισμοῖς A.B.C.F.G.H. 11. καὶ ἐσεβάσθησαν om. C.D.F.G. ult. αἰῶνας τῶν αἰώνων. ἀμὴν F.
p. 123. 7. ἀκρωρείας] κορυφῆς A.H. ἐφ' B. pro ἀφ'.

sive barbarus sive Græcus, humano unquam generi signum ad veritatis hujus notitiam sustulit: uni hæc servatori nostro gratia debetur, qui cum erroris antiqui fugam universis gentibus prædicavit, tum etiam absque invidia rectam omnibus ad verum omnium, solumque Deum viam atque pietatem indicavit. Contra vero sapientes isti, qui tanto fastu cœlestem quandam in moderanda vita prudentiam jactitabant, *cum Deum cognovissent* (ut divinus loquitur apostolus) Rom. 1, 21, 22, 25. *non sicut Deum glorificaverunt, aut gratias egerunt, sed evanuerunt in cogitationibus suis, et obscuratum est insipiens cor eorum. Dicentes enim se esse sapientes, stulti facti sunt; et coluerunt, et servierunt creaturæ potius quam creatori, qui est benedictus in sæcula.*

14 Enimvero post longam illam et spissam philosophiæ commentationem, post speciosas de rebus sive cœlestibus, sive naturalibus disputationes, ex illo culmine, sic tanquam ex altissimo quodam montis vertice prolapsi, humi deinceps cum ipsa plebecula volutari, pro-

πολυθέῳ πλάνῃ συνεφύροντο, τὰ τοῖς πολλοῖς ὅμοια,
διὰ τοῦ θύειν καὶ τοῖς ξοάνοις προσπίπτειν, δοξάζειν
ὑποκρινόμενοι, αὔξοντές τε καὶ ἔτι μᾶλλον κρατύνοντες
τὴν δημώδη τῶν μυθικῶν διηγημάτων περὶ θεῶν ὑπό-
2 ληψιν. Πῶς οὖν οὐκ ἂν εἶεν τοῖς πᾶσι πρόδηλοι σε-
μνολογούμενοι μὲν ταῖς φυσιολογίαις, καὶ μέχρι λόγων
τὰ αἰσχρὰ καλλωπίζοντες τῇ παρατροπῇ τῆς ἀληθείας,
ἔργοις δ' αὐτοῖς τὴν μυθικὴν συνιστῶντες πλάνην, καὶ
τὴν πάνδημον δεισιδαιμονίαν; Καὶ οὐδέπω τοῦτο θαυ- c
μαστὸν, ὅτε καὶ αὐτοὺς ἀναγράφουσι τοὺς ἑαυτῶν θεοὺς
3 ταῖς περὶ αὐτῶν συμφερομένους μυθολογίαις. Ἄκουε
γοῦν ὅπως ὁ Ἀπόλλων αὐτὸς περὶ ἑαυτοῦ διδάσκει
ὕμνον, ὃν εἰς ἑαυτὸν ἐξέδωκεν, ὁμολογῶν ἐν Δήλῳ τῇ
νήσῳ ὑπὸ Λητοῦς γεγεννῆσθαι, καὶ πάλιν ὁ Ἀσκληπιὸς
ἐν Τρίκκῃ, ὡς καὶ Ἑρμῆς τετέχθαι ὁμολογῶν ἀπὸ τῆς
4 Μαίας. Γράφει δὲ ὁ Πορφύριος καὶ ταῦτα ἐν οἷς ἐπέ-

b 2. συνεφύροντο] κατεφύροντο C.F.G. πολλοῖς] θεοῖς A.H. 4. ἔτι] ἐπὶ B.C.F.G. 11. συνιστῶντες] συνιστῶντα B. c 2. ἀναγράφουσι] ἀναγράφει B. ἀναγράφεσθαι C.F.G. 3. μυθολογίαις] θεολογίαις A.H. 4. ἄκουε] ἄγε C.F.G. 7. γεγεννῆσθαι] γεγενῆσθαι B.F. 9. ὁ Πορφ.] ὁ om. B.

miscue ad veterum de pluribus diis errorem sese aggregare, denique
eadem se quæ vulgus ipsum opinari, partim sacrificiis, partim simula-
crorum cultu simulare; quo quidem exemplo vulgarem hominum de
fabulosis deorum narrationibus sensum et existimationem augebant
2 simul, ac magis magisque roborabant. Ecquis igitur non plane
videat, speciem eos aliquam gravitatis sua ista physiologia quæsiisse,
verbisque tenus flagitiorum turpitudinem, detorquenda rerum veritate
colorasse, qui opere ipso fabulosum errorem, communemque omnium
superstitionem confirmarent? Quanquam, mirum id sane videri non
debet, cum ex eorum scriptis habeamus, sparsas de diis fabulas
3 deorum ipsorum vocibus comprobari. Audi ergo, quemadmodum
ipsemet Apollo, quem de se ipso hymnum edidit cæteros doceat, ubi
se in Delo insula natum ex Latona confitetur, cui Æsculapium ac
Mercurium adjungemus, quorum alter Triccæ, alter ex Maia pro-
4 creatum se esse pronuntiat. Habet etiam ista Porphyrius, in iis quæ

γραψε Περὶ τῆς ἐκ λογίων φιλοσοφίας, ἔνθα καὶ τῶν χρησμῶν ἐμνημόνευσεν ὧδέ πως ἐχόντων, ΠΟΡΦΥΡΙΟΥ

Ὦ μέγα πᾶσι χάρμα βροτοῖσιν, d
ἀπὸ σῶν ἱερῶν ματέρος ἁγνᾶς
προθορὼν τοκετῶν.

5 οἷς ἐπιλέγει,

Ἀλλ' ὅτε Λατὼ ὠδὶς ἱερὰ
λάζοιτο πᾶσα, δροθυνομένων
διδύμων τοκετῶν ἔνδοθε σηκῶν,
ἵστατο μὲν γαῖ', ἵστατο δ' ἀὴρ,
πάγνυτο νᾶσος, πάγνυτο κῦμα·
ἀνὰ δ' ἐξέθορες μάντι Λυκωρεῦ,
τοξότα Φοῖβε, κατὰ χρησμολάλων
βασιλεῦ τριπόδων.

6 Καὶ ὁ Ἀσκληπιὸς πάλιν περὶ ἑαυτοῦ,

c 10. περὶ om. A.H. 11. ἐκ λογίων om. B. qui mox τὸν χρυσοῦν pro τῶν χρησμῶν. 12. ὧδέ πως] ὡδί πως C.F.G. d. ὦ μέγα] ὡς μ. A.H. qui in marg. ὅτι τοὺς περὶ αὐτῶν μύθους αὐτοὶ διὰ τῶν ἰδίων χρησμῶν ἐκράτυναν ὡς Ἀπόλλων ἐν τούτοις. βροτοῖσιν] βροτοῖς A.H. Si sequentes versus sunt anapæstici, ut profecto videntur, sæpe ii contra leges istius metri peccant. 2. ἁγνᾶς προθορὼν] ἁγνῆς προθορὸν B.C. προθορὸν D. ἁγνῆς F.G. 6. λάζοιτοι H. 7. ἔνδοθε σηκῶν om. B.C.D.F. 8. γαῖα] γὰ B. γῆ C.F.G. 9. νᾶσος] νῆσος B.C.F.G. πάγνυτο] πάνυ τὸ B. πάγνοιτο F. ἀνὰ δ'—Φοῖβε. om. B. 10. λυκορεῦ D. 11. τοξότα τε] τε om. A.C.H. ult. καὶ ὁ] καὶ ὃς A. καὶ ὅσα H. Mox αὐτοῦ D.

de hausta ex deorum responsis philosophia scripsit, ubi sequentium oraculorum meminit,

Omni o populo magna voluptas,
Sacra puræ matris ab alvo,
Puer exiliens.

5 Quibus ita subdit,

Partus sævi tota doloris
Dum Latonam vis dia premit,
Sanctæque simul clausa parentis
Gemini quatiunt viscera fœtus:
Tellus sistit, sistit et aër,
Insula sidit, siditque mare,
Tu continuo vates Lycie,
Is, arcitenens Phœbe, sub auras,
Fata loquentum præses tripodum.

6 Similiter Æsculapius ita de se ipso,

ΠΟΡΦΥΡΙΟΥ

Τρίκκης ἐξ ἱερῆς ἥκω θεὸς, ὅν ποτε μήτηρ p. 124
Φοίβῳ ὑπευνηθεῖσα κυεῖ σοφίης βασιλῆα
ἴδριν ἰητορίης Ἀσκληπιόν· ἀλλὰ τί πεύθῃ;

7 ὁ δ' Ἑρμῆς φησὶν,

Ὃς δ' ἐγὼ, ὃν καλέεις, Ζηνὸς καὶ Μαιάδος υἱὸς,
Ἑρμῆς προβέβηκα λιπὼν ἀστραῖον ἄνακτα.

8 Καὶ τὸ εἶδος δὲ ἑαυτῶν ὑπογράφουσι τοῦ σχήματος, ὥσπερ ὁ Πὰν καὶ αὐτὸς ἐν χρησμοῖς περὶ ἑαυτοῦ τάδε b λέγει διδάσκων,

Εὔχομαι βροτὸς γεγὼς
Πανὶ συμφύτῳ θεῷ,
δισσοκέρατι, δισσόποδι,
τραγοσκελεῖ, τρυφῶντι.

9 Ταῦτα ἐν ἀπορρήτοις τῆς ἐκ λογίων φιλοσοφίας ὁ δηλωθεὶς ἀνὴρ τέθειται. Οὐκέτ' ἄρα ὁ Πὰν σύμβολον ἦν τοῦ παντὸς, δαίμων δ' ἂν εἴη τις τοιοῦτος, οἷος καὶ ὑπογέγραπται, ὁ καὶ τὸν χρησμὸν ἐκδούς· οὐ γὰρ δὴ τὸ

p. 124. 3. ὑπευνασθεῖσα] ὑπευνηθεῖσα A.H. γρ. S.V. σοφίας] σοφίης A.H. 5. ἰητορίης] ἰητορείης B. πεύθῃ] πεύθω A. πέσθω H. πάθη B. qui om. ὁ δ' Ἑρμῆς—τρυφῶντι. 7. Ὃς δ'—Ἑρμῆς] Jortinus Hist. Eccl. T. II. p. 354. Ὧδ'—Ἑρμείας. καλέεις] καλέει A. καλέω H. qui supra om. ὃν. Μαιάδος] μαιάδες A. 9. προβέβηκα λιπὼν] προβέβηκε λοιπὸν C.F.G. ἀστραῖον] ἀστέρων H. qui mox δὲ αὐτῶν. 11. ἑαυτῶν] αὐτῶν A.H. 12. αὐτὸς] αὐτὸς δὲ C.D.F.G. b 2. γεγὼς] γεγονὼς C.D.F.G. πανὶ] πάνυ A.H. 3. τραγοσκελεῖ] τραγόσκελι A.H. 5. τέθειται] τέθειτε H. οὐκέτ'] οὐκ A.H. 7. οἷος καὶ] καὶ om. F.

En Tricca e sacra venio tibi numen amicum,
Ille Æsculapius, quem Phœbo patre creatum,
Et sophiæ regem, cui vis est nota medendi,
Sustulit alma parens. Sed quid mea numina poscis?

7 Mercurius autem hunc in modum,

Mercurius, quem voce vocas, Maïæque Jovisque
Filius huc veni, cœlesti rege relicto.

8 Quinetiam suorum ipsi corporum speciem figuramque describunt, velut ille Pan, qui cujusmodi fuerit, ex ejus oraculis ita docemur; *Mortalis ego cum sim, nuncupo vota Pani, nativo deo, cornu gemino,*
9 *gemino pede, hircinisque cruribus insigni, voluptuario.* Ejusmodi sunt quæ laudatus auctor in abditis philosophiæ deorum ex responsis haustæ mysteriis recensuit. Pan ergo non jam universi symbolum est, sed dæmon potius, qualem se ipse descripsit, qui oraculum istuc

πᾶν καὶ ὁ σύμπας κόσμος ἔχρησε τὰ προκείμενα.
Τούτου τοιγαροῦν τοῦ δαίμονος, ἀλλ' οὐ τοῦ παντὸς
τὴν εἰκόνα ἐκτυπώσαντες ἄνδρες, τὸ προγεγραμμένον c
10 [75] ἐμιμήσαντο σχῆμα. Καὶ ὁ Ἑρμῆς δὲ πῶς ἂν νοοῖτο ὁ
τῶν ἁπάντων ποιητικός τε καὶ ἑρμηνευτικὸς λόγος, μη-
τέρα Μαῖαν τὴν Ἄτλαντος ὁμολογῶν ἐσχηκέναι, τήν γε
περὶ αὐτοῦ λεγομένην μυθολογίαν, ἀλλ' οὐ φυσιολογίαν
11 ἐγκρίνας; Οὕτω καὶ ὁ Ἀσκληπιὸς πῶς ἂν μετάγοιτο
εἰς ἥλιον, πατρίδα τὴν Τρίκκην ἐπιγραφόμενος, καὶ ἀπὸ
θνητῆς ὁμολογῶν γεγονέναι μητρός; Πῶς δὲ ἥλιος ὢν
αὐτὸς τοῦ ἡλίου πάλιν υἱὸς ἀποφανθείη; Ἐπεὶ καὶ τὸν d
αὐτοῦ πατέρα τὸν Φοῖβον οὐκ ἄλλον εἶναι τοῦ ἡλίου
12 ἐφυσιολόγησαν. Ἐξ ἡλίου δὲ καὶ θνητῆς γυναικὸς
φάναι αὐτὸν πῶς οὐ πάντων καταγελαστότατον; Ἐπεὶ
καὶ αὐτὸν τὸν πατέρα ἥλιον, ὃν δὴ Ἀπόλλωνά φασιν
εἶναι, πῶς εἰκὸς ἐν Δήλῳ γεγεννῆσθαι τῇ νήσῳ ὑπὸ

b 11. ἄνδρες] ἀνδρὸς A.H. c 2. ἁπάντων] πάντων H. 5. τήν γε] καὶ τήν γε A.E.H. μυθολογίαν ἔκρινας A. μ. ἐκκρίνας H. 6. ἀσκλήπιος] ὁ ἀσκ. A.H. 7. μετάγοιτο] λέγοιτο B.C.D.F.G. 9. μητρὸς om. F. 10. τοῦ] ὁ τοῦ B. υἱὸς πάλιν] πάλιν υἱὸς A.B.C.E.F.G.H. In E. om. αὐτός. d. καὶ τὸν] καὶ αὐτὴν τὸν A.H. 3. ἡλίου δὲ] δὲ om. A. 4. καταγελαστότατον] καταβλακτικώτατον B. 5. τὸν πατέρα] τὸν om. C.F.G. 6. φασιν] φάναι A.H. 7. γεγεννῆσθαι] γεγενῆσθαι C.F.G.

effudit: neque enim universum, totusve mundus ista respondit.
Quare ipsi quoque artifices, quotquot non universi, sed hujus
dæmonis imaginem expressere, descriptam paulo ante figuram imi-
10 tati sunt. Jam Mercurius, quomodo rerum effectrix omnium inter-
presque ratio haberi possit, cum ipse Maiam Atlantis filiam sese
matrem habuisse fateatur, quippe qui jactatam de ortu suo fabulam,
non istorum physiologiam testimonio judicioque suo comprobarit?
11 Æsculapius denique, quomodo ad solem traducatur, qui et Triccam
sibi patriam vindicet, et mortali se matre natum esse pronuntiet?
Imo, si sol ipse est, quomodo solis filius esse dicatur? nam Phœbum
quidem ipsius patrem, non alium a sole esse physiologi voluerunt.
12 Solem porro Æsculapium ex mortali fœmina suscepisse, cui non
omnium maxime ridiculum videatur? Nam ipsum quoque solem
Æsculapii patrem, quem scilicet Apollinem esse defendunt, cui
tandem in insula Delo, atque a Latona mortali similiter matre

13 θνητῆς πάλιν μητρὸς τῆς Λητοῦς; Ἐνταῦθά μοι τήρει ὁπόσους Ἕλληνες θεοὺς γεννητοὺς γυναικῶν ἐθεολόγησαν, εἰς παράθεσιν, εἴ ποτε πειρῶνται σκώπτειν τὴν τοῦ ἡμετέρου σωτῆρος γένεσιν· καὶ ὅτι οὐ ποιητῶν εἰσὶν αἱ p. 125 φωναὶ, ἀλλ' αὐτῶν τῶν θεῶν αἱ προκείμεναι σημειώσεις.

15 Ποιητῶν μὲν οὖν, ὥς φασι, μύθους περὶ θεῶν πλατ- b τομένων, φιλοσόφων δὲ φυσιολογούντων, χρῆν δήπου εἰκότως τῶν μὲν καταφρονεῖν, τοὺς δὲ θαυμάζειν ὡς φιλοσόφους, καὶ μᾶλλον τῶν ποιητικῶν λήρων τὰς τῶν κρειττόνων ἐκδέχεσθαι πιθανολογίας· θεῶν δ' αὖ πάλιν καὶ φιλοσόφων εἰς ἅμιλλαν κατιόντων, καὶ τῶν μὲν ἐν χρησμοῖς τὰ καθ' ἑαυτοὺς, ὡς ἂν μᾶλλον εἰδότων, ἀκριβῶς διδασκόντων, τῶν δὲ εἰς ἀσυμφώνους καὶ ἀναποδείκτους εὑρεσιολογίας τὰς περὶ ὧν μὴ ἴσασιν ὑπονοίας περιτρεπόντων, τίσιν αἱρεῖ λόγος πείθεσθαι; ἦ τοῦτο

d 8. μητρὸς] γυναικὸς A.H. qui mox om. τήρει ὁπόσους Ἕλληνες θεούς] ὅπως θεοὺς γεννητοὺς B. ὅπως οὓς θ. H. 9. Ἕλληνες] Ἕλληνας D. 10. πειρῶνται] πειρῶντο A.E.H. 11. γένεσιν] γέννησιν B.C.D.F.G.
p. 125. 6. Ὅτι δὲ οὐ] καὶ ὅτι οὐ A.E.H. Mox αἱ om. H. 8. ὥς φασι] ὡς om. C.F.G. b 6. πάλιν om. C.F.G. 7. ἐπὶ χρ.] ἐν χρ. A.C.F.G.H. 10. εὑρησιλ.] εὑρεσιλ. C.F. 12. τίσιν ἐρεῖ λόγος πείθεσθαι] τίς ἐρεῖ πίθεσθαι A, τίς ἐρεῖ C.F.G.H. ἐρεῖ] Dedi αἱρεῖ, notissimo sensu. Vid. Upton. Epictet. Arrian. I. 29. ἦ] ἢ Vigeri margo.

13 procreatum esse persuadeant? Cæterum animadverte mihi, quam multos Græci ex mulieribus genitos deorum in loco numeroque posuerint, ut si quando servatoris nostri generationem ridere conabuntur, hanc iis continuo turbam opponamus; illudque præterea, non poetarum voces a nobis, sed ipsorum deorum testimonia recitari.

15 Ac poetæ quidem, cum fabulas, ut aiunt, de diis confingant, philosophi vero rerum naturalium rationes cum ad ipsos accommodent; æquum sane esset, illos aspernari, hos tanquam philosophos suspicere, similemque vero excellentium hominum orationem potius, quam poeticas amplecti nugas. Nunc autem cum ipsi quoque dii in contentionem cum philosophis certamenque descendant, cumque res illi suas, quibus utique notiores eæ sunt, oraculis accurate planeque doceant; hi vero quasdam tantum iis de rebus suspiciones, quas minime perspectas habent, in absurdas ac futiles disputationum ineptias conferant: utris obsecro fidem habendam esse ratio suadeat?

2 οὐδὲ ἐρωτᾶν ἄξιον; Εἰ δὴ οὖν ἀληθεύσουσιν οἱ θεοὶ c κυροῦντες τὰς περὶ αὐτῶν ἀνθρωποπαθείας, ψευδεῖς ἂν εἶεν οἱ ἀθετοῦντες αὐτάς· εἰ δὲ τῶν φιλοσόφων ἀληθεῖς αἱ φυσιολογίαι, ψευδεῖς ἂν γένοιντο αἱ τῶν θεῶν μαρ-
3 τυρίαι. Ἀλλὰ καὶ αὐτὸς, εἴποι τις ἂν, ὁ Ἀπόλλων ἔφη που ἐν χρησμοῖς ἐρωτηθεὶς περὶ αὐτοῦ ὅστις εἴη,

Ἥλιος, Ὧρος, Ὄσιρις, Ἄναξ, Διόνυσος, Ἀπόλλων, d
ὡρῶν καὶ καιρῶν ταμίης, ἀνέμων τε καὶ ὄμβρων,
ἠοῦς καὶ νυκτὸς πολυαστέρος ἡνία νωμῶν,
ζαφλεγέων ἄστρων βασιλεὺς, ἠδ' ἀθάνατον πῦρ.

4 Οὐκοῦν οἱ αὐτοὶ καὶ τοῖς τῶν ποιητῶν μύθοις καὶ ταῖς τῶν φιλοσόφων ὑπονοίαις συμφέρονται, μαχομένοις συνιστάμενοι. Εἰ γὰρ μητέρας ἐπιγράφονται θνητὰς, καὶ πατρίδας τὰς ἐπὶ γῆς ὁμολογοῦσι, πῶς ἂν εἶεν οἵους
5 φυσιολογοῦσιν; Ἔστω γὰρ ὁ Ἀπόλλων ἥλιος—πάλιν γὰρ ἄνω καὶ κάτω εἰς τὰ αὐτὰ περιτρέχων αὐτοῖς ἁλώ-

c. ἀληθεύσουσιν] ἀληθεύουσιν G. 2. αὐτῶν] ἑαυτῶν H. 5. ἂν γένοιντο] γένοιντ' ἂν A.H. ἂν ἐγένοιντο E. 6. εἴποι τις] εἰ εἴποι τις ἂν C.F.G. εἰ item D. ἂν item H. 8. αὐτοῦ] ἑαυτοῦ A.H. 9. Διόνυσος] διὸς υἱὸς A.H. 10. Ἀπόλλων om. D. d 4. πολυαστέρος] πολυή[illegible]ερος C.D.F.G. πολυάστερον H. ἡνία νωμῶν] ἡνία C. ἡνίαν κινῶν ὤμων A.H. 7. ποιητῶν] θεῶν A.H. 9. μαχομένοις] μαχόμενοι C.F.G. 11. πῶς—φυσιολογοῦσιν om. A.H. 14. αὐτοῖς om. C.D.F.G. Tum ἁλώσεται ὁ λόγος A.E.H. ὁ λόγος ἁλ. al.

2 imo, indignum certe fuerit vel hoc quærere. Sed tamen, si dii verum dicunt, qui sibi ipsis attributos humanæ conditionis affectus perturbationesque confirmant; vanos continuo ac mendaces esse, qui eas respuunt, necesse est: sin autem vera philosophorum physiologia
3 est, falsa deorum esse testimonia sequitur. Atqui, dicat etiam aliquis, Apollo ipse consultus aliquando quis esset, hoc responsi dedit,

Sol, idemque Horus, Rex, Bacchus, Osiris, Apollo,
Idem horas, annique vices, ventos, pluviasque,
Auroræque rego, et stellatæ noctis habenas,
Rex simul astrorum, simul immortalis et ignis.

Apollo quam multiplex.

4 Ergo dii cum iidem et poetarum fabulis, et philosophorum suspicionibus testimonium adjungant suum, simul profecto dissentientibus pugnantibusque consentiunt. Enimvero si mortales sibi matres vindicant, seseque terrena ex patria natos fatentur, quomodo ejus-
5 modi esse poterunt, quales physiologorum ore celebrantur? Demus Apollinem solem esse; (rursus enim istorum oratio sursum deor-

σεται ὁ λόγος—πῶς οὖν ἡ Δῆλος, ἡ κατὰ θάλασσαν εἰσέτι νῦν προφαινομένη νῆσος, γένοιτ' ἂν τοῦ ἡλίου p. 126 πατρὶς, μήτηρ δὲ ἡ Λητώ; Ταυτὶ γὰρ ἀρτίως ἐκύρουν ὡς ἀληθῆ γε ὄντα οἱ αὐτοῦ χρησμοί. Πῶς δὲ καὶ τοῦ Ἀσκληπιοῦ ἀνδρὸς θνητοῦ τὴν φύσιν γένοιτ' ἂν ὁ ἥλιος πατὴρ, ἐκ θνητῆς αὐτὸν γυναικὸς πεποιημένος; Ἀλλὰ παρείσθω ταῦτα.

16 Τοῦ δὲ χρησμοῦ τὸ ψεῦδος καὶ ἄλλως ἀπελεγκτέον. b

[76] Οὐ γὰρ δὴ ὁ ἥλιος οὐρανόθεν αὐτοῖς καταβὰς, ἔπειτα τὸν δοχέα πληρώσας, τὸν χρησμὸν ἀπεφοίβαζεν· ἐπεὶ οὔτε δυνατὸν οὔτε θέμις ἀνάγκαις ἀνθρώπων τὸν τηλικοῦτον ὑποτάσσεσθαι φωστῆρα· ἀλλ' οὐδ' εἰ φαῖεν τὴν c ἐν αὐτῷ θείαν καὶ νοερὰν δύναμιν, ὅτι μηδὲ ταύτης γένοιτ' ἂν ποτε δεκτικὴ ἀνθρωπεία ψυχή.
2 Ὁ δ' αὐτὸς ἂν εἴη λόγος καὶ ἐπὶ σελήνης. Εἰ γὰρ τὴν Ἑκάτην αὐτὴν εἶναι φήσουσι, καί πως ἀνάγκαις ἀνθρώπων κα-

d 15. θάλασσαν] θάλατταν A. Tum εἰδέτι F.
p. 126. μήτηρ δὲ ἡ Λητώ. ταυτὶ] καὶ μήτηρ ἡ λητώ ταῦτα A.H. 4. ἀνδρὸς θνητοῦ] θνητοῦ ἀνδρὸς A.H. Mox τῇ φύσει H. b 5. ἀπελεγκτέον] ἐστὶν ἀπελέγχειν A.H. ἀπελεκτέον C. 6. δοχέα] ἀέρα A H. 9. τὸν τηλ.] τὸν om. C. Mox ὑποτάττεσθαι A. c. οὐ δὴ] οὐδ' εἰ A.B.C.F.H. 3. ἀνθρωπεία] θεία B. 5. καί πως] καί περ C.D.F.G.

sumque jactata eundem in circulum redire cogetur;) quomodo igitur Delos insula, quam in medio mari extantem hodieque cernimus, solis patria, quomodo Latona mater ejusdem erit? Ipse enim utrumque verum esse, suis paulo ante oraculis confirmabat. Quo modo denique Æsculapium idem mortali natura præditum ex mortali quoque fœmina suscepit? Verum ista prætermittamus.

16 Enimvero hujus enim oraculi vanitas alia quoque ratione coargui facile possit. Neque enim sol ad istos, credo, cœlitus descendebat, ac deinceps per eum qui numen excepisset Phœbæum oraculum effundebat: cum neque fieri posset, neque vero fas esset, ut tantum sidus humanæ vis necessitati cedere ac parere cogeretur: id quod ne de illa quidem, quam ipsi tribuunt, divina spiritalique virtute dixerint, cum eam nihilo magis humanus animus capere ac sustinere possit.
2 Atque eodem prorsus modo liceat de luna statuere. Quod si Hecaten illam esse dicent, quæ cum humanæ cantionis aut similis

θέλκεσθαι, καὶ διὰ τοῦ δοχέως χρᾶν, εἴς τε αἰσχρὰς καὶ
ἐρωτικὰς διακονίας παραλαμβάνεσθαι αὐτὴν ἄρχουσαν
τῶν πονηρῶν [δυνάμεων, ἤτοι] δαιμόνων, εἰκὸς ἂν εἴη
τὴν Ἑκάτην ταῦτα πράττειν· ὃ καὶ ὁ αὐτὸς ὁμολογεῖ
3 συγγραφεὺς, ὡς κατὰ καιρὸν ἐπελέγξομεν. Πῶς δὲ ὁ d
Πλούτων καὶ ὁ Σάραπις εἰς τὸν ἥλιον δυνατοὶ ἂν εἶεν
φυσιολογεῖσθαι, ὅτε τὸν ἄρχοντα τῶν πονηρῶν δαιμό-
νων ὁ αὐτὸς πάλιν ἀποφαίνεται τὸν Σάραπιν εἶναι τὸν
αὐτὸν τῷ Πλούτωνι; Καὶ χρησμοὺς δὲ τοῦ Σαράπιδος
ἐγγράφων, πῶς ἂν δύναιτο τοῦ ἡλίου αὐτοὺς λέγειν
4 εἶναι; Ἀλλὰ γὰρ ἐξ ἁπάντων τούτων λείπεται μηδὲν
μὲν ἀληθὲς φέρειν ὁμολογεῖν τὰς δηλωθείσας φυσιολο-
γίας, σοφίσματα δ᾽ εἶναι σοφιστῶν ἀνδρῶν καὶ εὑρησι-
17 5 λογίας. Τούς γε τοι τῶν χρησμῶν ὑπηρέτας ἀληθεῖ p. 127 5
λόγῳ φάσκειν δαίμονας εἶναι φαύλους, ἐπ᾽ ἀνθρώπων

c 7. αἰσχρὰς καὶ ἐρωτ.] ἐρωτ. καὶ αἰσχ. A.H. Tum διανοίας B.C.F.G. γρ. S. 9. ἀρχὴ γὰρ οὖσα] ἀρχηγὸν οὖσαν B. ἀσχημονοῦσαν A.H. ἀρχὴ γὰρ οὖσαν E. Malim ἄρχουσαν. Vid. infra p. 175 b 11. δυνάμεων ἤτοι om. A.E.H. 10. τὴν Ἑκ.] ἐπὶ τὴν Ἑκ. A.H. 11. ὃ καὶ] καὶ om. A.H. Tum ὁ αὐτὸς F.G. d. ἐπελέγξ.] ἀπελεγξ. A.G. Mox δαὶ A. Mox δύνατοι ἂν εἰς τὸν ἥλιον E. 5. τὸν αὐτὸν—λέγειν εἶναι om. C.F.G. τὸν αὐτὸν εἶναι E. ὄντα om. A.H. ante τῷ Πλούτωνι. 6. χρησμοὺς δὲ] δὲ om. D. 7. ἐγγράφων] γράφων A.H. αὐτοὺς λέγειν] λεγ. αὐτ. B.E. αὐτὸν post λέγειν A.H. αὐτὰ λέγει D. 11. εὑρεσιολογίας] εὑρησιλ. A.H. εὑρεσιλογίας B.C.

illecebræ necessitate deducatur, tum vero et per eum a quo fuerit
suscepta, respondeat, et obscœnis amoribus ac lenociniis operam
suam navet; esto sane. Cum enim improbarum virtutum, aut
dæmonum potius princeps Hecate illa sit, hæc cum fecerit omnia,
nihil ab sese alienum fecerit. Neque id etiam laudatus scriptor non
3 fatetur, ut suo loco demonstrabimus. Pluto autem et Serapis, qua
tandem physiologia ad solem revocari queant? præsertim cum iste
Serapidem eundem cum Plutone faciens, malorum etiam dæmonum
principem esse velit? Dum vero Serapidos oracula scriptis suis
4 inserit, quo sensu eadem solis esse defendat? Enimvero, his omnibus plane conficitur, uti eos fateri oporteat veri nihil tota ista
physiologia contineri, sophistarum has esse argutias, et commenta
17 verborum inania. At oraculorum administros, si vere loqui volue-
5 rint, improbos esse dæmones, qui ad homines in fraudem inducendos

ἀπάτῃ τὰ ἀμφότερα παίζοντας, καὶ τοτὲ μὲν συντιθε-
μένους ταῖς μυθικωτέραις περὶ αὐτῶν ὑπολήψεσιν ἐπὶ
τῇ πανδήμῳ πλάνῃ, τοτὲ δὲ τὰ τῆς φιλοσόφου γοητείας b
ἐπικυροῦντας ἐπὶ τῇ καὶ τούτων ἐπιτριβῇ καὶ φυσι-
ώσει· ὥστε πανταχόθεν ἁλίσκεσθαι μηδὲν αὐτοὺς ἀλη-
θεύειν.
6 Τοσούτων ἡμῖν εἰρημένων, καιρὸς ἤδη μεταβάντας
τὸ τρίτον εἶδος ἐπελθεῖν τῆς Ἑλλήνων θεολογίας, ὃ δή
φασιν εἶναι πολιτικόν τε καὶ νόμιμον. Μάλιστα γὰρ
ἱκανὸν τοῦτο πρὸς ἔκπληξιν τῶν πολλῶν εἶναι νενόμι-
σται, διά τε τὰ θρυλούμενα μαντεῖα, καὶ τὰς διὰ χρη-
σμῶν ἀκέσεις τε καὶ θεραπείας τῶν πεπονθότων σω-
7 μάτων, τάς τε κατά τινων ἐπισκήψεις. Ὧν δὴ καὶ c
διὰ πείρας ἐλθεῖν φάσκοντες, εὖ μάλα πεπείκασιν ἑαυ-
τοὺς μὲν εὐσεβοῦντας εἰς τοὺς θεοὺς δίκαια πράττειν,
ἡμᾶς δὲ τὰ μέγιστα ἀσεβεῖν, τὰς οὕτως ἐμφανεῖς καὶ

p. 127. 7. καὶ τὸ] καὶ τότε A.B.C.H. καὶ ποτὲ ed. Viger. cum Steph. consentit D. Mox τιθεμένους H. 8. μυθικωτ.] μυστικωτ. H. 9. τὰ τῆς φιλοσόφου] τὰ σοφιστικὰ τῆς γ. B. φιλοσοφίας C.F.G. b 2. φυσιώσει] φυσειώσει B. καὶ παντ.] καὶ om. A.B.C.F.G. 7. τε καὶ] δὲ καὶ F. 9. τὰς διὰ] διὰ τὰς A.H. 11. ἐπισκήψεις] ἐπισκέψεις D. c. τὸ καὶ] τὸ om. B.C.D.F.G.H.

in utroque luderent; ac modo se ad fabulosas de se ipsis opiniones aggregarent, ut communis ac publicus error foveretur, modo philosophorum etiam præstigias comprobarent, ut fastu et arrogantia inflatis exitium afferrent; sicque nihil unquam dixisse veri modis
6 omnibus convincuntur. Jam vero his a nobis hactenus disputatis, tempus est ut ad tertiam Græcorum theologiæ speciem, quam civilem ipsi ac legitimam nominant, gradum faciamus. Nam id demum ad stultæ multitudinis admirationem ac stuporem longe opportunissimum esse statuerunt; si partim jactatis vaticiniis, partim morbidorum corporum curatione deorum quæsita responsis, partim repen-
7 tinis et gravibus nonnullorum pœnis teneretur. Quæ dum se ipsos etiam expertos esse dicunt, tum vero jure nimirum persuadent, se quidem pie justo erga deos obsequio cultuque defungi, nos vero summæ impietatis reos esse, qui manifestis adeo beneficisque virtu-

εὐεργετικὰς δυνάμεις μὴ ταῖς προσηκούσαις θεραπείαις τιμῶντας. Καὶ πρὸς ταῦτ' οὖν ἑτέραν λόγου ἀρχὴν ἀναλαβόντες ὑπαντήσωμεν.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

[78] **ΠΡΟΟΙΜΙΟΝ.** p. 129

1 Τὸ τρίτον εἶδος τῆς πολυθέου πλάνης, ἀφ' ἧς δυνάμει καὶ εὐεργεσίᾳ τοῦ λυτρωτοῦ καὶ σωτῆρος ἡμῶν p. 130
ἠλευθερώθημεν, ἐν τετάρτῳ τούτῳ συγγράμματι τῆς Εὐαγγελικῆς Προπαρασκευῆς καιρὸς ἀπελέγξαι καλεῖ.
2 Ἐπειδὴ γὰρ τὸ πᾶν τῆς θεολογίας αὐτῶν εἶδος εἰς τρία γενικώτερον διαιροῦσιν, εἴς τε τὸ μυθικὸν ὑπὸ τῶν ποιητῶν τετραγῳδημένον, καὶ εἰς τὸ φυσικὸν τὸ δὴ πρὸς τῶν φιλοσόφων ἐφευρημένον, εἴς τε τὸ πρὸς τῶν νόμων διεκδικούμενον ἐν ἑκάστῃ πόλει καὶ χώρᾳ πεφυλαγμένον,

c 6. τιμῶντας] τιμῶντες B. 8. ὑπαντήσομεν H. τέλος τοῦ τρίτου τόμου C. εὐαγγελικῆς προπαρασκευῆς στι φωνή A.
p. 130. 1. καὶ σωτῆρος] καὶ om. A.H. Mox ἰησοῦ χριστοῦ om. A.B.C. E.F.G.H. post ἡμῶν. 2. τῷ τετάρτῳ] τῷ om. A.B.C.F.G. τε τετάρτῳ E. τε γὰρ τῷ H. 6. μυθικὸν] μυστικὸν H. 7. πρὸς τῶν] ὑπὸ τῶν H. 9. πόλει καὶ χώρᾳ] χ. κ. π. B.C.F.G.

tibus debitum obsequium honoremque negemus. Nos vero ut istis occurramus, novum deinceps disputationis initium faciamus.

LIBER QUARTUS.

PROŒMIUM.

1 Susceptæ disputationis ordo postulat, ut tertiam illius erroris partem, qui deorum multitudinem invexit, quoque liberati redemptoris servatorisque nostri Jesu Christi virtute beneficioque sumus,
2 quarto hoc Præparationis Evangelicæ libro confutemus. Cum enim universam theologiæ suæ rationem in tria veluti communiora genera partiantur, fabulosum, quod poetarum versibus usque adeo jactatum est; naturale, quod a philosophis excogitatum fuit; et illud quod legum auctoritate sanctum atque munitum, in singulis urbibus ac regionibus servari consuevit: ex iis autem duo jam superioribus

τούτων δὲ μέρη δύο ἤδη πρότερον διὰ τῶν πρὸ τούτου
συγγραμμάτων ἡμῖν ἐξήπλωται, τό τε ἱστορικὸν, ὃ δὴ b
μυθικὸν ἀποκαλοῦσι, καὶ τὸ ἐπαναβεβηκὸς τοὺς μύθους,
ὃ δὴ φυσικὸν ἢ θεωρητικὸν ἢ ὅπῃ ἄλλῃ χαίρουσιν προσ-
αγορεύοντες· καιρὸς ἂν εἴη τὸ τρίτον ἐπὶ τοῦ παρόντος
διελθεῖν, τοῦτο δέ ἐστι τὸ κατὰ πόλεις καὶ χώρας συν-
εστὸς, πολιτικὸν αὐτοῖς προσαγορευόμενον· ὃ καὶ μά-
λιστα πρὸς τῶν νόμων διεκδικεῖται, ὡς ἂν παλαιὸν
ὁμοῦ καὶ πάτριον καὶ τῆς τῶν θεολογουμένων δυνάμεως
3 αὐτόθεν τὴν ἀρετὴν ὑποφαῖνον. Διατεθρύληται γοῦν
αὐτοῖς μαντεῖα καὶ χρησμοὶ, θεραπεῖαί τε καὶ ἀκέσεις
παντοίων παθῶν, ἐπισκήψεις τε κατὰ ἀσεβῶν· ὧν δὴ c
καὶ διὰ πείρας ἐλθεῖν φάσκοντες εὖ μάλα πεπείκασιν
ἑαυτοὺς τὰ θεῖα τιμῶντας δίκαια πράττειν, ἡμᾶς δὲ τὰ
μέγιστα ἀσεβεῖν, τὰς οὕτως ἐμφανεῖς καὶ εὐεργετικὰς

a 11. τούτου] τούτων C.D.F.G. b. μυθικὸν] μυθικὸν ἀποκαλοῦσιν καὶ τὸ ἐπαναβεβηκὸς τοὺς μύθους (τοῖς μύθοις H.), ὃ δὴ φυσικὸν ἢ θεωρητικόν (θεολογικὸν H.) A.B.C.H. et proculdubio D.E.F.G. qui cum ed. Viger. collati fuerunt. 2. ἀποκαλοῦσιν—φυσικὸν om. ed. Steph. 5. τοῦτο δέ—τὴν ζημίαν om. B. 6. συνεστὸς] συνεστὼς A. Viger. 7. τῶν νόμων] τὸν νόμον D. 8. ὁμοῦ] νόμου A.H. Tum καὶ om. D. 9. τῶν] τῷ F. 11. χρησμοὶ] χρησμὸς C.F.G. Supra μαντεῖαι H. 12. ἀκέσεις] ἀσκήσεις D. c. ἐπισκήψεις] ἐπισκέψεις A. 3. τὰ δίκαια] τὰ om. A.E.H. Supra δίκαια C.F.G. pro θεῖα. 5. ἐμφανεῖς] ἐμφαντικὰς A.H.

libris in omnium oculis posuerimus, cum historicum, quod fabulosum nominant, tum etiam alterum quod fabulas omnes exuperat, sive id naturale, sive contemplationi addictum, sive quocunque alio nomine appellare malint: sequitur omnino, ut tertium hoc deinceps volumine persequamur. Illud autem est, quod quia per singulas civitates ac regiones constitutum fuit, civile ab iis nuncupatur; eoque præsertim legum vi præsidioque defenditur, quod non antiquum modo patriumque sit, verum etiam eorum quos ipsi deorum in loco numeroque ponunt, virtus atque potentia, hoc tanquam rei per
3 se ipsam loquentis testimonio declaretur. Enimvero, pridem apud istos oracula quædam atque responsa, morborum omnis generis curationes, illatæque cœlitus in impios gravissimæ calamitates celebrantur; quæ dum se ipsos etiam experientia nosse profitentur, tum vero jure sibi nimirum persuadent, se quidem quod deos colant, juste omnino

δυνάμεις ἐν οὐδενὶ λόγῳ τιθεμένους, ἄντικρυς δὲ παρα-
νομοῦντας· δέον σέβειν ἕκαστον τὰ πάτρια, μηδὲ κινεῖν
τὰ ἀκίνητα, στοιχεῖν δὲ καὶ ἐφέπεσθαι τῇ τῶν προπα-
τόρων εὐσεβείᾳ, ἀλλὰ μὴ πολυπραγμονεῖν ἔρωτι καινο-
τομίας. Ταύτῃ γοῦν φασὶν ἐπαξίως καὶ θάνατον ὑπὸ d
4 τῶν νόμων ὡρίσθαι τοῖς πλημμελοῦσι τὴν ζημίαν. Τὸ
μὲν οὖν πρῶτον ἱστορικόν τε ὂν καὶ μυθικὸν τῆς θεολο-
γίας εἶδος ὅπῃ τις βούλεται ποιητῶν τιθέσθω, ὥσπερ
οὖν καὶ φιλοσόφων τὸ δεύτερον, διὰ τῆς τῶν μύθων
φυσικωτέρας ἀλληγορίας ἀπηγγελμένον· τὸ δὲ τρίτον,
ὃ καὶ πρὸς τῶν ἀρχόντων ὡς ἂν παλαιὸν ὁμοῦ καὶ πο-
λιτικὸν τιμητέον τε καὶ φυλακτέον εἶναι νενομοθέτηται,
μήτε τις ποιητῶν, φασὶ, μήτε φιλοσόφων κινείτω· τοῖς
δ' ἐκ παλαιοῦ κρατήσασι θεσμοῖς ἔν τε ἀγροῖς καὶ πό-
λεσι μενέτω πᾶς στοιχῶν, νόμοις πατρίοις πειθόμενος.
5 Πρὸς δὴ οὖν ταῦτα καιρὸς ἀποδοῦναι τὸν παρ' ἡμῖν p. 131

c 7. ἕκαστον] ἕκαστα D.F.G. 9. προπατόρων] προτέρων D. 10. ἀλλὰ μὴ] μὴ δὲ A.E.H.S.V. Mox φησὶν H. d 4. ὅπῃ] ὅποι B.C. D.F.G. 6. φυσικωτέρας] φυσιολογίας H. et mox ἀπαγόμενον pro ἀπηγγελμένον. 9. τε καὶ] τε om. B.C.F. Tum φυλακτέων F.G. τιμητέων item G. 10. φασι μήτε] φασὶν ἢ A.H. 11. δ' ἐκ παλαιοῦ] δὲ παλαιοῖς H. 12. ἔν τε ἀγροῖς] ἐν θεάτροις A.H. γρ. S.V. ult. ταῦτα] καὶ ταῦτα C.F.G.

p. 131. παρ' ἡμῖν λόγον] παρ' ἡμῶν ἀπολογισμὸν A.H.

μένων μάντεων προρρήσεις, ἢ ὡς μᾶλλον ἂν ὑπό τινος τούτου
συγχωρηθέντος, τοῦ πάντα γίνεσθαι καθ' εἱμαρμένην, καὶ
οὐχὶ ὁμοίως ἂν ψευδοῦς ῥηθέντος καὶ αὐτοῦ· ἐπειδὴ καὶ τὸ
ἐναντίον, λέγω δὲ τὸ μὴ πάντα ἀποβαίνειν τὰ προαγορευ-
θέντα, μᾶλλον δὲ τὰ πλεῖστα αὐτῶν ἡ ἐνάργεια δείκνυσιν.
2 Οὕτω τὴν ἀπόδειξιν ἡμῖν Χρύσιππος κεκόμικε, δι' ἀλλήλων b
κατασκευάζων ἑκάτερα. Τὸ μὲν γὰρ πάντα γίγνεσθαι καθ'
εἱμαρμένην ἐκ τοῦ μαντικὴν εἶναι δεικνύναι βούλεται· τὸ δὲ
εἶναι μαντικὴν οὐκ ἂν ἄλλως ἀποδεῖξαι δύναιτο, εἰ μὴ προ-
3 λάβοι τὸ πάντα συμβαίνειν καθ' εἱμαρμένην. Ποῖος δ' ἂν
μοχθηρότερος τρόπος ἀποδείξεως τούτου γένοιτο; Τὸ γὰρ
ἀποβαίνειν τινὰ κατὰ τὴν ἐνάργειαν ὧν προλέγουσιν οἱ μάν-
τεις, οὐ τοῦ μαντικὴν ἐπιστήμην εἶναι σημεῖον ἂν εἴη, ἀλλὰ
τοῦ τυχικῶς συμπίπτειν ταῖς προαγορεύσεσι συμφώνους τὰς
ἐκβάσεις· ὅπερ οὐδεμίαν ἡμῖν ἐπιστήμην ὑποδείκνυσιν. c
4 Οὐδὲ γὰρ τοξότην ἂν εἴποιμεν ἐπιστήμονα τὸν ἅπαξ ποτὲ
τυχόντα τοῦ σκοποῦ, πολλάκις δὲ ἀποτυγχάνοντα· οὐδὲ ἰα-

a 4. ἢ ὡς] ἢ om. A.H. 5. ἂν περιέχετο ὑπό τινος F. 7. ψευδοῦς] ψευδῶς C. 10. ἐνέργεια] ἐν^{a}εργεια A. ἐνάργεια Vigeri margo. b. κατασκευάζων ἑκάτερα] ἑκάτερα om. F. 2. γίνεσθαι] γίγνεσθαι A. 3. μαντικὴν] μαντείου C. δεικνύναι βούλεται] βουλὴν δείκνυται A. βουλὴν δεικνύναι H. 8. ἐνέργειαν] ἐν^{a}εργ. A. 10. εἶναι] ἂν εἶναι B.C.D.F.G. σημεῖον ἂν εἴη εἶναι ut videtur H. 11. συμφώνους] συμφωνοῦν A.H. c 2. ποτὲ τυχόντα] ὑποτετυχότα A. ὑποτετυχόντα H.

nominant, prædicta omnia evenire constaret, vel potius fato cuncta fieri
concessum a quopiam fuisset: ac non id similiter falso diceretur, cum
tamen contrarium, hoc est non omnia quæ ab iis prænuntiata sunt evenire,
2 imo secus evenire quamplurima oculis ipsis quotidie videamus. Sic ergo
nobis suum illud Chrysippus argumentum obtrudit, ut alterum vicissim
ex altero colligat. Nam et fato cuncta fieri ex eo quod divinatio sit pro-
bare conatur, nec tamen divinationem esse aliter unquam probare possit,
3 nisi prius illud, omnia fato evenire, sumat. Quæ autem argumentandi
ratio vel iniquior, vel ineptior esse queat? Nam quod ex iis quæ divini
prænuntiant, nonnulla quandoque re ipsa contingant, id non jam divina-
tionis artem aliquam esse argumento est, sed potius casu fieri, si quis
nonnunquam eventus cum eorum prædictione consentiat. Id quod nullam
4 sane scientiam esse declarat. Nec enim, opinor, aut scientem illum peri-
tumque sagittarium dixerimus, qui cum semel aliquando collinearit in

Chrysippo argumentum refellitur.

τρὸν τὸν ἀναιροῦντα τοὺς πλείους τῶν θεραπευομένων ὑπ' ΔΙΟΓΕΝΙΑΝΟΥ
αὐτοῦ, ἕνα δέ ποτε διασῶσαι δυνηθέντα· οὐδὲ ὅλως ἐπιστή-
μην λέγομεν τὴν μὴ πάντα ἢ τά γε πλεῖστα τῶν οἰκείων
5 ἔργων κατορθοῦσαν. Ὅτι δὲ ἀποτυγχάνεται τὰ πολλὰ
τοῖς καλουμένοις μάντεσιν, ὁ πᾶς τῶν ἀνθρώπων βίος μάρ- d
τυς ἂν εἴη, καὶ οὗτοί τε αὐτοὶ, οἱ τὴν μαντικὴν ἐπαγγελλό-
μενοι τέχνην, οὐχὶ διὰ ταύτης ἑαυτοῖς βοηθοῦντες ἐν ταῖς
κατὰ τὸν βίον χρείαις, ἀλλὰ γνώμῃ τε ἰδίᾳ ποτὲ χρώμενοι,
καὶ συμβουλῇ καὶ συνεργείᾳ τῶν ἐν ἑκάστοις τῶν πραγμά-
6 των ἐμπειρίαν κεκτῆσθαι νενομισμένων. Ἀλλὰ περὶ μὲν
τοῦ μὴ συνεστάναι τοῦτο, ὃ προειλήφαμεν καλεῖν μαντικὴν,
ἐν ἄλλοις ἀποδώσομεν πληρέστερον, παρατιθέμενοι τὰ Ἐπι-
κούρῳ καὶ περὶ τούτου δοκοῦντα· νυνὶ δὲ τοσοῦτον τοῖς εἰρη-
μένοις προσθήσομεν, ὅτι μάλιστα μὲν τὸ ἀληθεύειν ποτὲ
τοὺς καλουμένους μάντεις ἐν ταῖς προαγορεύσεσιν, οὐκ ἐπι-
στήμης, ἀλλὰ τυχικῆς αἰτίας ἔργον ἂν εἴη—οὐ γὰρ τὸ μηδὲ
πώποτε τοῦ προκειμένου τυγχάνειν, ἀλλὰ τὸ μὴ πάντοτε, p. 138

c 4. τὸν ἀναιρ.] τὸν om. H. d 2. μαντικὴν] μαγικὴν B. 3. διὰ ταύτης] δὲ ταυτὴν A.H. 4. τὸν βίον] τὸν om. H. 5. συνεργείᾳ] συνεργίᾳ B.C. Tum τὴν A.H. pro τῶν et ἐν om. B.C.D.F. 6. ἐμπειρίαν] ἐμπειρία H. 8. μὴ συνεστάναι] συνιστάναι A.H. Supra περὶ τοῦ μὲν H. μαντικὴν καλεῖν] κ. μ. A.B.H. καλεῖν μαντικὸν C.F. καλεῖν μαντικὴν G. Tum εἶναι ἐν ἄλλοις A.H. 11. τοσοῦτον] τοσοῦτο A. 13. καλουμένους] εἰρημένους H. 15. οὐ γὰρ] οὐδὲ γὰρ B.

scopum, ab eodem sæpius aberrarit; aut medicum eum, qui quos ipse curet, partem maximam cum interimat, unum fortasse quempiam servare potuerit: nec omnino scientiam nominamus ullam, nisi quæ, si non omnia
5 quæ sui sunt muneris, at pleraque scite feliciterque perficiat. Jam vero sua vates istos in plurimis divinatione falli, non modo vita mortalium universa, sed illi etiam ipsi qui divinandi artem profitentur, testes esse possint, quippe qui ab ea nihil opis ad usus vitæ quotidianos accipiant, sed utantur partim judicio suo, partim aliorum consilio pariter atque auxilio, qui rerum singularum experientes communi opinione habeantur.
6 Verum nihil plane firmitatis habere, quam vulgo divinationem appellare consuevimus, alibi fusius ostendemus, ubi etiam Epicuri hac de re sententiam proferemus. Nunc autem unum solum aut alterum ad ea quæ dicta sunt, adjungemus; atque hoc in primis, quod ii nonnunquam vera prænuntient, qui vates nominantur, id non scientiæ, sed casui assignandum esse. Nec enim ejus rei, quam propositam habueris, compotem fieri nunquam, sed neque semper, neque ut plurimum, neque, si quando

ΔΙΟΓΕΝΙΑΝΟΥ

μηδ' ὡς ἐπὶ τὸ πλεῖστον, μηδ' ἐξ ἐπιστήμης, ὅταν τις καί
[83] ποτε τυγχάνῃ, τύχης ἔργον καλεῖν προειλήφαμεν οἱ διειλη-
φότες τὰς ὑφ' ἕκαστον ὄνομα τεταγμένας ἐναργεῖς ἐννοίας
ἑαυτῶν—ἔπειτα εἰ καὶ καθ' ὑπόθεσιν ἦν ἀληθὲς τὸ δὴ τὴν
μαντικὴν τῶν μελλόντων ἁπάντων εἶναι θεωρητικήν τε καὶ
προαγορευτικὴν, τὸ μὲν πάντα καθ' εἱμαρμένην εἶναι συνή-
γετο ἂν οὕτως, τὸ μέντοι χρειῶδες αὐτῆς καὶ βιωφελὲς οὐκ
ἄν ποτε ἐδείκνυτο, δι' ὃ καὶ μάλιστα δοκεῖ Χρύσιππος
7 ὑμνεῖν τὴν μαντικήν. Τί γὰρ ὄφελος ἡμῖν ἦν προμανθάνειν τὰ b
πάντως ἐσόμενα δυσχερῆ, ἃ οὐδὲ προφυλάξασθαι δυνατὸν ἂν
εἴη; Τὰ γὰρ καθ' εἱμαρμένην γινόμενα πῶς ἄν τις φυλά-
ξασθαι δύναιτο; Ὥστ' οὐδὲν ὄφελος ἡμῖν τῆς μαντικῆς, μᾶλ-
λον δὲ καὶ πρὸς κακοῦ τινὸς ἐγίνετο ἂν αὕτη, τὸ προλυπεῖ-
σθαι μάτην παρέχουσα τοῖς ἀνθρώποις ἐπὶ ταῖς προδηλουμέ-
8 ναις δυσχερείαις κατ' ἀνάγκην ἐσομέναις. Οὐ γὰρ τὴν ἴσην
πάλιν εὐφροσύνην τις φήσει παρέχειν τὴν τῶν ἐσομένων
ἀγαθῶν προαγόρευσιν· ἐπειδήπερ οὐχ οὕτως πέφυκεν ἄνθρω- c

p. 138. 2. μηδ' ἐξ] μηδ' ὡς ἐξ A.H. 3. τυγχάνῃ] τυγχάνει H. 4. ὑφ' ἕκαστον] ἐφ' ἕκ. B.C.F.G. Supra δ' εἰληφότες H. 7. τῶν om. D. ἁπάντων om. A.H. Mox μέν τι C.F.G. 12. δοκεῖ om. A. δοκεῖ Χρύσ. B.C.F.G.H. ὑμνεῖν—χαρὰν om. B. b 3. δυνατὸν ἂν εἴη] δύναιτο H. qui om. τὰ γὰρ—δύναιτο. 4. γενέσθαι] γινόμενα C.G. γρ. S. γενόμενα F. μέλλοντα e conj. addit Vigerus in marg. 9. προλαβούσαις] προδηλουμέναις A.C.D.F.G.H. γρ. S.V. 11. παρέχειν τ. φήσει] τις φήσει παρ. C.F.G. φησὶ pro φήσει A. φασὶ H. c 2. ἄνθρωπος] ἀνθρώποις A.H.

compos fias, scientia fieri; hoc demum est, quod fortunæ tribuendum
merito censent, qui apertas significationes suis quasque vocibus attributas
distinguere rite norunt. Deinde etiam illud, tametsi daremus verum esse,
quod a Chrysippo sumitur, divinationi futura omnia præsentiendi, ac
prædicendi vim inesse; ex eo quidem jure concludi posse, fato cuncta
fieri; non tamen hujus artis commoditatem ad vitæ usus aliquam ullo
modo demonstrari, cujus maxime caussa divinationem prædicare Chry-
7 sippus videtur. Nam quid nobis tandem ex eo compendii, quod eas

Divinatio quam inutilis.

omnino calamitates futuras præsentiremus, quas ne cavere quidem ulla
ratione possemus? Quæ enim fato eveniant, quis mortalium cavere possit?
Quare tantum abest ut nobis divinatio utilitatis afferret aliquid, ut potius
hoc ipso nobis cederet in perniciem, quod animi ægritudinem ac molestiam
ex ipsamet calamitatum necessario futurarum præsensione, etiam antequam
8 acciderent, hominibus crearet. Nec enim æqualem contra lætitiam futu-
rorum prædictione excitatum iri quis dixerit; cum homo non tantum

ΔΙΟΓΕΝΙΑΝΟΥ

πος χαίρειν ἐπὶ τοῖς προσδοκωμένοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς
κακοῖς ἀνιᾶσθαι. Ἄλλως τε καὶ ταῦτα μὲν οὐ πάνυ τι περὶ
ἑαυτοὺς ἔσεσθαι πρὶν ἀκοῦσαι κατελπίζομεν· τὰ δ' ἀγαθὰ
μᾶλλον ἅπαντες, ὡς εἰπεῖν, προσδοκῶμεν, διὰ τὴν φυσικὴν
οἰκείωσιν πρὸς αὐτά· οἱ μὲν γὰρ πολλοὶ καὶ μείζω τῶν δυ-
9 νατῶν γενέσθαι κατηλπίκασιν. Ἐξ οὗ συμβαίνει τὸ τὴν
μὲν τῶν ἀγαθῶν προαγόρευσιν μὴ ἐπιτείνειν πάνυ τι τὴν d
χαρὰν, διὰ τὸ καὶ χωρὶς τῆς προαγορεύσεως ἕκαστον ἐξ
ἑαυτοῦ τὰ κρείττω προσδοκᾶν, ἢ ἐπ' ὀλίγον ἐπιτείνειν τῇ
δοκούσῃ βεβαιότητι· πολλάκις δὲ καὶ μειοῦν τὴν χαρὰν, ὅταν
ἐλάττω τῶν ἐλπισθέντων ἀκουσθῇ· τὴν δὲ τῶν κακῶν προ-
αγόρευσιν, καὶ διὰ τὸ ἀπόστρεπτον αὐτῶν φύσει, καὶ διὰ τὸ
παρ' ἐλπίδας ἐνίοτε προλέγεσθαι, μεγάλως συνταράττειν.
10 Ἀλλ' ὅμως εἰ καὶ μὴ τοῦτο συνέβαινε, τό γε ἀχρεῖον ἔσε-
σθαι τὴν προαγόρευσιν παντί που δῆλον ἂν εἴη. Εἰ γὰρ
φήσει τις σωθήσεσθαι τὸ χρήσιμον τῆς μαντικῆς διὰ τὸ

c 4. μὲν οὐ] μὲν om. C.F.G. 6. ἅπαντες] πάντες A.H. 9. μείζους] μείζω A.H. 10. μὲν τὴν] τὴν μὲν D.G. d 2. πάνυ τὶ] παντί H. χωρὶς τῆς πρ.] τῆς πρ. χωρὶς B. 3. ἑαυτοῦ] ἑαυτῶν F. 4. ἐπ' ὀλίγον] ἐπ' om. A.H. Supra προσδοκοῦντα D. 5. βεβαιότητι] βεβαι[τι]οτα B. μειοῦν τὴν χαρὰν] μιμοῦνται τ. χάριν A. βαροῦται τ. χ. H. 6. ὅταν] ὅτε D.F.G. ἐλάττω] ἐλάττωνα C. 7. ἀκουσθῇ om. B.C.D.F G. 8. καὶ διὰ] καὶ om. C. ἀπόστρεπτον] ἀπροαίρετον A.H. Tum αὐτῶν om. H. 10. ταράττειν] συνταράττειν A.B.C.D.F.G.H. 11. ἀχρεῖον] ἀχρείαν C.D.F.G. om. B. 13. φήσει] φησὶ A. σωθήσεσθαι] σωθήσεται A.H.

bonorum expectatione gaudere, quantum metu malorum dolere consueverit. Deinde nemo fere est, qui ab sese mala propius abesse, antequam audierit, admodum speret; bona vero, quod in ea sponte sua natura propendeat, omnes, ut verbo dicam, potius expectamus. Nam et plerique
9 majores sese, quam fieri possint, futuros sperare solent. Ex quo illud accidit, ut bonorum quidem prædictio lætitiam vel admodum non augeat, quod etiam citra prædictionem quilibet meliora quæque per se ipsum expectet; vel raro saltem ea, qua quis forte putet, cum firmitate augeat; imo sæpe quoque minuat, dum spe minus aliquid respondetur: malorum autem prædictio, partim quod ab iis naturæ sensus abhorreat, partim quod ea præter spem aliquando prædicantur, gravem animi perturbationem
10 afferat. Quanquam, si ejusmodi nihil accideret, inanem tamen prædictionem fore, cuivis, opinor, constare certo possit. Nam si quis utilitatem divinationi aliquam hoc ipso assereret atque defenderet, quod eæ calami-

ΔΙΟΓΕΝΙΑΝΟΥ

προλέγεσθαι τὸ πάντως ἐσόμενον δυσχερὲς εἰ μὴ φυλαξαί-
μεθα, οὐκ ἔτι πάντα δείξει συμβησόμενα καθ' εἱμαρμένην, ἐφ'
11 ἡμῖν ὄντος τοῦ φυλάξασθαί τε καὶ μὴ φυλάξασθαι. Εἰ γὰρ p. 139
καὶ τοῦτο κατηναγκάσθαι φήσει τις, ὡς εἰς πάντα τὰ ὄντα
διατείνειν τὴν εἱμαρμένην, πάλιν τὸ τῆς μαντικῆς χρήσιμον
ἀναιρεῖται· φυλαξόμεθα γὰρ εἰ καθείμαρται, καὶ οὐ φυ-
λαξόμεθα δῆλον ὡς εἰ μὴ καθείμαρται φυλάξασθαι, κἂν πάν-
12 τες οἱ μάντεις τὸ ἐσόμενον προαγορεύωσιν ἡμῖν. Τὸν γοῦν
Οἰδίποδα, καὶ τὸν Ἀλέξανδρον τὸν τοῦ Πριάμου, καὶ αὐτὸς
ὁ Χρύσιππός φησι πολλὰ μηχανησαμένων τῶν γονέων ὥστε
ἀποκτεῖναι, ἵνα τὸ ἀπ' αὐτῶν προρρηθὲν αὐτοῖς κακὸν φυ- b
13 λάξωνται, μὴ δυνηθῆναι. Οὕτως οὐδὲν ὄφελος οὐδὲ αὐτοῖς
τῆς τῶν κακῶν προαγορεύσεώς φησιν εἶναι διὰ τὴν ἐκ τῆς
εἱμαρμένης αἰτίαν. Τοῦτο μὲν οὖν ἐκ περιουσίας εἰρήσθω,
πρὸς τὸ μὴ μόνον ἀνυπόστατον, ἀλλὰ καὶ ἀχρεῖον τῆς μαν-
τικῆς.

14 Ταῦτα μὲν ὁ φιλόσοφος. Σύ γε μὴν παρὰ σαυτῷ

d pen. φυλαξαίμεθα] φυλαξοίμεθα F.G. προφυλαξαίμεθα H. ult. πάντα δείξει] δείξει πάντα τὲ A.H.
p. 139. τε καὶ] τε om. B C.F.G. καὶ μὴ φυλάξασθαι om. D. τοῦτο] τούτου B. 6. καθείμ.] καθημ. B. 7. πάντες] ποτε A.H. 8. προαρεύωσιν] προαγορ. A. προαγορεύσωσιν B.C.D. προσαγορεύσωσιν F.G. προαρεύσωσιν H. 10. μηχανησαμένων] μηχανησαμένους A. —νους (ων) H. 12. ἀπ' αὐτῶν] ἐπ' α. C.F.G. b 3. φησιν] ὥς φησιν A.H. ἐκ τῆς] ἐκ om. A.H. 5. μόνον om. B. 7. μὲν ὁ] μὲν οὖν ὁ A.H. σαυτῷ] σαυτοῦ C.F.G.

tates prædicantur, quæ omnino, nisi caveris, eventuræ sint; is profecto non omnia fato evenire demonstraret, cum in nostra potestate esset aut
11 cavere, aut non cavere. Sin autem hoc ipsum eadem necessitate contineri dixerit, ut ad res omnes vis fati pertineat, rursum divinationis utilitas omnis tollitur. Certo enim, si fatum nobis cavere sit, cavebimus; sin autem fatum non fuerit, nullo modo cavebimus, tametsi vates omnes quid
12 eventurum nobis sit prænuntiarint. Enimvero, cum Œdipi, tum Alexandri Priami filii cædem omni arte molitos utriusque parentes fuisse, ut quod prædictum erat ab iis sibi exitium imminere, declinarent, nec tamen eos voti compotes esse unquam potuisse, vel Chrysippus ipse confitetur:
13 adeoque agnoscit nihil etiam ipsis malorum suorum prædictionem propter fati vim ac necessitatem profuisse. Atque hæc a nobis contra divinationis partim incertitudinem, partim inutilitatem, liberalius quidem, quam res postulabat, dicta sunto.
14 Hactenus ille philosophus. Tu vero tecum ipse cogita, quemad-

σκέψαι, πῶς Ἕλληνες ὄντες, καὶ τὴν Ἑλλήνων σύντρο-
φον παιδείαν ἐκ νέας ἡλικίας κτησάμενοι, τά τε πάτρια
περὶ θεῶν πάντων μᾶλλον διεγνωκότες, Ἀριστοτελικοὶ
πάντες, Κυνικοί τε, καὶ Ἐπικούρειοι, καὶ ὅσοι τούτοις c
ἐφρόνησαν τὰ παραπλήσια, τῶν παρ' αὐτοῖς Ἕλλησι
15 βοωμένων μαντείων κατεγέλασαν. Καὶ μὴν, εἴπερ ἦν
ἀληθῆ τὰ θρυλούμενα περὶ τῆς τῶν χρηστηρίων παρα-
δοξοποιίας, εἰκὸς ἦν καὶ τούσδε καταπλαγῆναι Ἕλληνας
ὄντας, καὶ τὰ πάτρια ἀκριβῶς ἐξεπισταμένους, μηδέν τε
16 τῶν γνωσθῆναι ἀξίων ἐν δευτέρῳ τιθεμένους. Ταῦτα
[84] μὲν οὖν καὶ ὅσα τοιαῦτα συνάγειν εἰς ἀνασκευὴν τῆς
περὶ τῶν χρηστηρίων ὑποθέσεως, πλείστη τις ἦν περι- d
ουσία· ἀλλ' οὐ ταύτῃ μοι δοκεῖ τὸν παρόντα μεθοδεῦσαι
λόγον, ἀλλ' ᾗπερ ὡρμήθημεν ἀρξάμενοι, ἀληθῆ λέγειν
δόντες τοὺς ὑπὲρ αὐτῶν προϊσταμένους, ὡς ἂν ἐκ τῶν

b 8. ὄντες om. A.H. 10. παιδείαν om. A. ante ἐκ νέας B.C.F.G.H. Vulgo post κτησάμενοι. 11. διεγνωκότες] διεγνωκότων B. Mox Ἀριστοτελικοί τε D. c. Ἐπικούρειοι] Ἐπικούριοι A.H. 6. τούσδε] τούτους B.D.G. τὸ τοὺς F. 8. ἐξεπιστ.] ἐπιστ. B.C.F.G. qui mox τι pro τε cum D. 9. τεθειμένους] τιθεμένους C.D.F.G. 10. εἰς ἀνασκ.] εἰς om. B.C.F.G. d 2. ᾗπερ] ὅπερ C.F.G. 3. ἀρξάμεθα D. 4. δόντες] δόντας A.H. 5. ἂν ἐκ] ἂν om. A.H.

modum Græci homines, qui non modo Græcorum disciplinam et instituta ab ineunte ætate cum ipso prope lacte nutricis imbiberant, sed etiam patrias deorum religiones omnium accuratissime perviderant, Aristotelici omnes, omnes cum Cynici, tum Epicurei, et quotquot ad eorum sese opinionem aggregarant, jactata apud Græcos
15 ipsos vatum responsa deriserint. Quos tamen, si quæ de oraculorum istorum prodigiis omnium ore celebrantur, vera putavissent, oportebat sane non minus quam cæteros eorum vim obstupescere, quippe qui et Græci essent, ritusque patrios omnino callerent, ac nihil eorum
16 quæ scitu digna forent, ullo unquam modo neglexissent. Ista quidem aliaque similia, qui hoc in argumenti genere ad refellendam oraculorum famam colligere vellet, næ magnam is copiam habiturus esset. Verum susceptam a nobis disputationem hac via moliri non placet, sed ea potius qua in eam ab ipso statim initio ingressi sumus. Dabimus enim, eos qui vaticiniorum fidem asserunt, vera dicere, ut ex illorum ipsorum confessione, qui et responsorum istorum veritatem

παρ' αὐτοῖς ὁμολογουμένων, μαντεῖά τε εἶναι ἀληθῆ καὶ Πυθόχρηστα θεοπρόπια τὰ δηλούμενα φασκόντων, τὴν ἀκριβῆ τῶν δηλουμένων ἔκφανσιν καταμάθωμεν.

4 Οἶμαι δὲ παντί τῳ εἶναι σαφὲς, ὡς ὁ τῶν προκειμέ- p. 140
νων ἔλεγχος οὐ μικρὸν ἀλλὰ καὶ μέγιστον ὁμοῦ καὶ ἀναγκαιότατον περιέξει μέρος τῆς εὐαγγελικῆς ὑποθέσεως. Εἰ γὰρ οἱ πρὸ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ b
Χριστοῦ παρουσίας πανταχῇ πάντες, Ἕλληνες καὶ βάρβαροι, δειχθεῖεν μὴ τὸν ἀληθῆ Θεὸν ἐπεγνωκότες, ἀλλ' ἤτοι τὰ μὴ ὄντα ὡς ὄντα δοξάζοντες, ἢ ὑπό τινων μοχθηρῶν καὶ θεομάχων πνευμάτων δαιμόνων τε πονηρῶν καὶ ἀκαθάρτων τυφλῶν δίκην ὧδε κἀκεῖσε περιηγμένοι, καὶ βυθῷ κακίας πρὸς αὐτῶν καθειλκυσμένοι· (καὶ τί γὰρ ἄλλ' ἢ δαιμονῶντες;) πῶς οὐ μειζόνως ἂν ὀφθείη τὸ μέγα τῆς εὐαγγελικῆς οἰκονομίας μυστήριον, πάντας πανταχόθεν ἐκ τῆς πατροπαραδότου πλάνης τῆς τῶν

d 6. Πυθόχρηστα] πυθόχριστα B. θεοπρόπια] θεοπρόπεια A. ult. καταμάθοιμεν] καταμάθωμεν B.C.D.F.G.
p. 140. 8. ὑποθέσεως εἰ γὰρ] ἀποδείξεως οὕτω γὰρ A.H. b. Χριστοῦ] τοῦ Χ. A. πανταχῇ] πανταχοῦ A.H. 7. καὶ βυθῷ — καθειλκυσμένοι om. H. 10. ὀφθείη] ὠφθείη B.

defendunt, quæque memorantur oracula numinum suorum vocibus edita esse contendunt, integram et accuratam eorum quæ proferuntur explicationem atque notitiam hauriamus.

4 Equidem sic existimo neminem esse qui non intelligat, partem evangelici hujus argumenti non exiguam, sed vero maximam maximeque necessariam eorum quæ proposita mihi sunt probatione contineri. Nam si ostendere semel poterimus, quotquot seu Græci seu barbari ante servatoris nostri Jesu Christi adventum toto passim orbe vixerunt, verum omnes Deum ignorasse, adeoque vel iis quæ nulla erant, perinde ac si essent, honorem tribuisse, vel a pessimis, quique cum Deo ipso pugnant spiritibus, ac sceleratis impurisque dæmonibus cæcorum instar huc illucque raptatos, atque in improbitatis barathrum præcipites actos: (quid enim aliud eos, quam dæmoniaco furore correptos fuisse dixeris?) cui tandem magnum hoc dispensationis evangelicæ mysterium non clarius et illustrius appareat, quod omnes undique ab avito errore, dæmonumque ty-

δαιμόνων καταδυναστείας διὰ τῆς τοῦ σωτῆρος ἡμῶν c
φωνῆς ἀνακεκλημένους, καὶ τοὺς μέχρις ἐσχατιῶν γῆς οἰκοῦντας ἀνθρώπους τῆς ἐξ αἰῶνος κατασχούσης τὸν πάντα βίον ἀπάτης λελυτρωμένους, ὥστε ἐξ ἐκείνου καὶ εἰς δεῦρο λελύσθαι μὲν καὶ καθῃρῆσθαι αὐτοῖς ναοῖς καὶ ξοάνοις τὰ πεπαλαιωμένα τῆς τῶν ἐθνῶν ἁπάντων πλάνης ἱδρύματα, ἱερὰ δὲ ὄντως σεμνὰ καὶ εὐσεβείας διδασκαλεῖα τῷ παμβασιλεῖ καὶ δημιουργῷ τῶν ὅλων ἐν μέσαις πόλεσί τε καὶ κώμαις δυνάμει καὶ ἀρετῇ τοῦ d
σωτῆρος ἡμῶν ἀνὰ τὸν σύμπαντα κόσμον ἀνεγηγέρθαι, θυσίας τε τὰς θεοπρεπεῖς εὐχαῖς ὁσίων διαθέσει κεκαθαρμένῃ κακίας ἁπάσης, ἔν τε ἀπαθείᾳ ψυχῆς καὶ πάσης ἀρετῆς ἀναλήψει, κατὰ τὰ θεῖα καὶ σωτηριώδη παιδεύματα, ἐξ ἁπάντων ὁσημέραι διηνεκῶς τῶν ἐθνῶν ἐπιτελεῖσθαι, τὰς δὴ καὶ μόνας ἀρεστὰς οὔσας καὶ προσηνεῖς

c 2. ἡμῶν om. A.H. ἀνακεκλημένους] ἀνακεκλημένων B. ἐπανακεκλημένων C.D.F.G. 3. ἐσχατιῶν] ἐσχατιᾶς B.C.F.G. αἰσχατιᾶς D. 5. λελυτρωμένους] λελυτρωμένων B.C.D.F.G. 6. καὶ εἰς δεῦρο λελύσθαι om. B. καὶ εἰς τόδε καταλελύσθαι C.F.G. καταλελῦσθαι D. μὲν καὶ] καὶ om. B. 7. ναοῖς] τοῖς ν. B.C.D.F.G. 8. ἐθνῶν] θεῶν C.F.G. 9. ὄντως] ὄντα C.F.G. l. τε ὄντως H. d 2. ἀνεγηγέρθαι θυσίας] ἐγεγέρθαι ὑγείας A. ἐνηγέρθαι οἰκείας H. 4. διακεκαθάρθαι] διαθέσει κεκαθαρμένῃ B.C.D. γρ. S. δ. κεκαθαρμένην F.G. 7. ὁσήμεραι] ὡς ἡμέραι B. 8. ἐπιτελεῖσθαι] ἐπιτελεῖται B. ἀρετὰς] ἀρίστας A.H. ἀρεστὰς Vigeri margo. Tum καὶ προσηνεῖς οὔσας B.

rannide servatoris nostri voce revocarit, quique in extremis terrarum finibus degerent homines, ab ea quæ omni ex memoria vitam mortalium universam tenuerat fraude liberarit? atque ita liberarit, ut tanto intervallo et vetustissima gentium omnium erroris domicilia cum templis atque simulacris dissipata funditusque sublata fuerint, et delubra vere augusta, vereque pietatis scholas in summi regis ac rerum universarum molitoris honorem, mediis in urbibus atque pagis, ejusdem servatoris nostri virtute totum per orbem excitata sint; et sacrificia deo dignissima hominum sanctorum precibus, sensu ab omni improbitate puro, mente ab omni perturbatione vacua, et omnium virtutum exercitio, quomodo divinæ salutaresque literæ præcipiunt, ab omnibus quotidie gentibus assidueque fiant: cujusmodi utique sacrificia sunt, quæ sola præpotenti Deo placere,

2 θυσίας τῷ ἐπὶ πάντων Θεῷ. Τούτων δὲ οὕτως ἐχόντων, πῶς οὐκ ἂν εἴημεν ἐν ταυτῷ δεδειχότες, καὶ ὅτι μετὰ σώφρονος λογισμοῦ, οὐχὶ δὲ ἀλογίᾳ ἑαυτοὺς ἐπιδόντες, ἀποστάται τῆς πατροπαραδότου γεγόναμεν δεισιδαιμονίας, κρίσει δικαίᾳ καὶ ἀληθεῖ τὸ κρεῖττον ἀγαπήσαντες, p. 141
καὶ τῆς ἐνθέου καὶ ἀληθοῦς εὐσεβείας ἐρασταὶ γεγενημένοι. Ἀλλὰ τούτων μὲν ἅλις, ἁπτέον δὲ λοιπὸν τῶν προκειμένων.

5 Οἱ μὲν δὴ τὴν Ἑλληνικὴν θεολογίαν ἐξηκριβωκότες, καθ᾽ ἕτερον παρὰ τοὺς προειρημένους ἡμῖν τρόπους, εἰς b
γένη τέτταρα πάντα τὸν λόγον διαιροῦντες, πρώτιστα πάντων τὸν πρῶτον ἀφορίσαντες θεὸν, εἰδέναι φασὶ τοῦτον εἶναι τὸν ἐπὶ πᾶσι πρῶτόν τε ὄντα καὶ πάντων θεῶν πατέρα τε καὶ βασιλέα, μεθ᾽ ὃν γένος τὸ θεῶν ὑπάρχειν δεύτερον, ἑπόμενον δὲ τὸ δαιμόνων, τὸ δὲ ἡρώων τέταρτον· ἃ πάντα τῆς τοῦ κρείττονος ἰδέας μετασχόντα πῇ μὲν ἄγειν, πῇ δὲ ἄγεσθαι, καὶ φῶς ἅπαν

d 11. ἐν ταυτῷ δεδειχ.] δεδειχ. ἐν τ. A.H. Tum καὶ om. H. ult. δεισιδαιμονίας] διδασκαλίας A.H. Mox δὲ om. B.C.D.E.F.G. Tum ἀληθῆ C.
p. 141. 1. καὶ τῆς] καὶ om. F. 8. ἐξηκριβωκότες] ἐξηκριβηκότες B. Tum κατὰ τοὺς H. b. τρόπους] τρόπον C.D.F.G. 2. τέτταρα πάντα] τε γὰρ ἅπαντα H. 3. τὸν πρ.] τὸν om. B. ἀφορίσαντες] ἀφωρ. B. ἀφωρίσαντο C.F.G. 5. θεὸν] θεῶν A. 6. τὸ θεῶν] τὸ θεὸν B. τὸ τῶν θεῶν C.F. 7. δαιμόνων] δαιμόνιον B.C.F.G.

2 atque accepta esse possint. Hæc porro cum ita sese habeant, nonne simul eademque via ostenderimus, nos prudenti maturoque consilio adductos, non inconsulta levitate abreptos, a patria superstitione descivisse, ac recto veroque judicio meliora complexos esse, divinamque simul ac veram pietatem adamasse. Sed de his hactenus, quod superest, ad rem ipsam veniamus.

5 Ergo qui Græcorum theologiam ad amussim exegerunt, aliam quandam ab iis quas ante recensuimus rationem ineuntes, rem totam in quatuor genera partiti sunt. Quippe, in primis enim principem deum a vulgo segregantes, omnibus eum rebus præsidere, ante omnes esse, omniumque deum, parentem, ac regem sese agnoscere profitentur: secundum quem, alterum deorum genus, tertium dæmonum, quartum denique heroum assignant. Deinde vero, quæcunque in partem ejus, quod optimum est, ideæ venerint, ea partim

προσαγορεύεσθαι τὸ τοιόνδε φωτὸς μετοχῇ· ἀλλὰ καὶ
[85] τῆς τοῦ χείρονος οὐσίας τὸ κακὸν ἡγεῖσθαί φασι· τοῦτο c
δὲ εἶναι μοχθηρῶν δαιμόνων γένος, φίλῳ μὲν οὐδαμῶς χρώμενον τἀγαθῷ, δύναμίν γε μὴν ἐν τῇ τῶν ἐναντίων φύσει κεκτημένον πρώτην, καθάπερ ἐν τοῖς κρείττοσιν ὁ θεός· πᾶν δὲ τὸ τοιόνδε σκότος προσαγορεύεσθαι.
2 Ταῦτα τοῦτον διαστειλάμενοι τὸν τρόπον, θεοῖς μὲν οὐρανὸν καὶ τὸν ἄχρι σελήνης αἰθέρα φασὶν ὑποτετάχθαι· δαίμοσι δὲ τὰ περὶ σελήνην καὶ ἀέρα· ψυχαῖς δὲ τὰ περὶ γῆν καὶ ὑπόγεια. Τοιούτῳ δ' ἀφορισμῷ κεχρημένοι πρῶτον ἁπάντων φασὶ τοὺς οὐρανίους δεῖν καὶ d
αἰθερίους θεοὺς θεραπεύειν· δεύτερον, τοὺς ἀγαθοὺς δαίμονας· τρίτον, τὰς τῶν ἡρώων ψυχάς, τέταρτον, τοὺς
3 φαύλους καὶ πονηροὺς ἀπομειλίσσεσθαι δαίμονας. Ταῦτα δὲ λόγῳ διαιροῦντες ἔργῳ συγχέουσι τὰ πάντα, μόνας ἀντὶ τῶν εἰρημένων πάντων τὰς πονηρὰς δυνάμεις θεραπεύοντες, καὶ ὅλοι ταύταις καταδουλούμενοι, ὡς ὁ

b 11. τοῦ χείρ.] τοῦ om. A.H. c. τὸ κακὸν om. D. 6. προσαγορεύεσθαι] προσαγορεύεται H. 7. ταῦτα om. C.D.F.G. 9. ὑποτετάχθαι] ἀποτέτακται H. δαίμοσι] δαίμονας D. 10. δὲ τὰ] τε τα C.F.G. 12. φασὶ τοὺς] φασὶ om. B.C.F.G. d. δεῖν] δεῖ A.H. Supra τοσούτῳ δ' ἀφ. H.

agere, partim agi, et quicquid ejusmodi est, quod luminis sit particeps, lumen appellari statuunt: deteriori contra naturæ malum ipsum imperare, quod quidem non aliud quam improborum dæmonum genus esse volunt, quod cum eo quod bonum est amico nunquam utatur, tum vim in universa eorum quæ bono contraria sunt natura, perinde ac deus in toto bonorum genere, principem obtineat:
2 quicquid vero tale est, id omne tenebras vocari tradunt. Quibus ita constitutis atque distinctis, cœlum quidem cum eo qui ad lunam ipsam pertinet æthere diis, qui circa lunam aëremque versantur, dæmonibus, quæ circa quæque sub terram, animabus attribuunt. Hac partitione assignata, cœlestes deos in primis, deinde bonos dæmones, tertio, heroüm animas colere, postremo malos etiam
3 improbosque dæmones placare ac delinire oportere docent. Verum hæc cum ita verbo tenus omnia distinguant, tum re ipsa cuncta confundunt, improbas tantum virtutes aliorum omnium loco venerando, seseque totos iis mancipando, quemadmodum hujus in pro-

λόγος προϊὼν ἀπελέγξει. Πάρεστι γοῦν σοι τὰς διὰ
τῶν ξοάνων ἐνεργούσας δυνάμεις ὁποίας χρῆν ἀποφαί-
νεσθαι σκοπεῖν, πότερα θεοὺς ἢ δαίμονας, καὶ εἴτε
4 φαύλους, εἴτε ἀγαθοὺς, ἐκ τῶν παρατεθησομένων. Τὰ
μὲν γὰρ παρ' ἡμῖν θεῖα λόγια οὐδ' ὅλως ἀγαθὸν οὐδέν'
ὀνομάζει δαίμονα, πάντας δὲ πονηροὺς εἶναι τοὺς τῆς p. 142
λήξεως ταύτης καὶ δὴ καὶ τῆς προσηγορίας μετειληφό-
τας, ὡς οὐδ' ἕτερον θεὸν ἀληθῶς καὶ κυρίως πλὴν ἕνα
τὸν πάντων αἴτιον· τὰς δὲ ἀστείας καὶ ἀγαθὰς δυνά-
μεις, ἅτε τὴν φύσιν γεννητὰς οὔσας καὶ πολλῷ τὸν
ἀγέννητον καὶ σφῶν αὐτῶν ποιητὴν Θεὸν ἀφυστερού-
σας, οὐ μὴν ἀλλὰ καὶ τοῦ τῶν δαιμόνων μοχθηροῦ
γένους ἀφωρισμένας, οὔτε θεοὺς οὔτε δαίμονας ἀποκα-
λεῖν ἀξιοῖ, μέσας δὲ οὔσας Θεοῦ καὶ δαιμόνων εὐθυβόλῳ
καὶ μέσῃ προσηγορίᾳ ἀγγέλους Θεοῦ καὶ πνεύματα λει- b

d 13. παρατεθησομένων] παρατεθεισομένων A. ult. οἶδεν] οὐδένα A.H. ὀνομάζει item H. ut in ed. Viger. ὀνομάζειν al.

p. 142. 1. λέξεως] λήξεως D. et sic Toupius, qui vertit *hujus loci atque ordinis*. 3. μετειληχότας] μετειληφότας A.H. οὐδ' ἕτερον] οὐδ' om. A.H. θεὸν om. C.D.F.G. 4. τῶν π.] τὸν π. A.C. 6. τὴν φύσιν] τῇ φύσει H. γενητὰς] γεννητὰς B. Mox ἀγένητον A.B.C.F.G. πολλῷ] πολλῶν D. 7. ἀφυστερούσας] ἀφυστέρους H. 8. οὐ μὴν ἀλλὰ καὶ τοῦ τῶν] ἀλλὰ μὴν καὶ τούτων A.H.

gressu disputationis ostendemus. Tuum autem erit, ex iis quæ a
nobis in medium afferentur, videre, quales eas quæ suam per simu-
lacra vim exerunt virtutes habere oporteat, deosne, an dæmones;
4 et si dæmones, malosne, an vero bonos. Nam divinæ quidem apud
nos, literæ nusquam omnino dæmonem bonum vocare solent, quippe
quæ optime norint, quibuscum id vocabuli nominisque commune sit,
improbos esse omnes; quemadmodum non alium ipsæ deum vere
proprieque nominant, præter unum illum qui rerum omnium auctor
est. Liberales autem illas bonasque virtutes, quod natura sua prin-
cipium ortus habeant, atque ut longo Deum illum et ortus expertem
et sui conditorem sequuntur intervallo, sic et ab improbo dæmonum
genere segregatæ sint, neque deos, neque dæmones appellare volue-
runt; sed, quod medium quendam illæ sint Deum inter ac dæmones
sortitæ gradum, media quadam eas aptissimaque appellatione, modo

τουργικὰ, δυνάμεις τε θείας καὶ ἀρχαγγέλους, καί τισιν ἄλλαις ἐπωνυμίαις φερωνύμως τοῖς ἐπιτηδεύμασιν αὐτῶν ὀνομάζειν εἴωθε, τοὺς δὲ δαίμονας, εἰ δὴ καὶ τούτων ἡμᾶς προσήκει τὴν ἐτυμολογίαν ἐξειπεῖν, οὐχ ᾗπερ Ἕλλησι δοκεῖ παρὰ τὸ δαήμονας εἶναι καὶ ἐπιστήμονας, ἀλλ' ἢ παρὰ τὸ δειμαίνειν, ὅπερ ἐστὶ φοβεῖσθαι καὶ ἐκφοβεῖν, δαίμονάς τινας προσφυῶς ὀνομάζεσθαι. Τάς γέ τοι θείας καὶ ἀγαθὰς δυνάμεις, ὥσπερ οὖν τοῦ τρό- c που, οὑτωσὶ δὲ καὶ τῆς προσηγορίας τῆς δαιμονικῆς ἀλλοτρίας τυγχάνειν· ἐπεὶ καὶ πάντων ἂν εἴη παραλογώτατον, τὰς μήτε τὴν προαίρεσιν μήτε τὴν ἐκ τοῦ τρόπου φύσιν ὁμοίας μιᾶς καὶ τῆς αὐτῆς ἐπωνυμίας ἀξιοῦν.

6 Φέρε οὖν, ἐπισκεψώμεθα τίς ὁ κατ' αὐτοὺς τῶν χρη- d

b 2. δυνάμεις τε θείας] θείας τε δυν. B.C.F.G. 3. ἐπων. φερων.] φερων. ἐπων. C.F.G. 5. εἴωθε τούσδε] εἰώθασιν τοὺς μέντοι A.H. εἰ δὴ] εἰ δεῖ B.C.D.F.G. Tum προσήκει om. B.D.F.G. 6. ἐξειπεῖν] εἰπεῖν B.C.F. ἀνειπεῖν G. 7. ᾗπερ] ἢ παρ' A. Ἕλλησι] Respicit Platonem Cratyl. p. 398 b. δαίμονας] δαήμονας A.B.H. 8. παρὰ] ἄρα παρὰ A.H. ἢ ante παρὰ delet Viger. in marg. 9. ὅπερ ἐστὶ] ὅ ἐστι B.C.F.G. καὶ ἐκφοβεῖν om. H. δαίμονας] δαίμονας εἶναι A.H. Tum καὶ προσφυῶς H. c 3. ἀλλοτρίας] ἀλλοτρίους B.C.D.F.G. τυγχάνειν ἀλλοτρίας H. 4. μήτε τὴν] μήτε μὴν B. Mox προαίρεσιν μήτε τὴν ἐκ om. A.H. ἐκ om. F.G. Tum τῇ τοῦ τρόπου φύσει H. 6. ἐπωνυμίας] ὁμωνυμίας B.C.F.G. d 1. ἐπισκεψώμεθα] ἐπισκεψόμεθα D.

angelos Dei ac spiritus administros, modo virtutes divinas atque archangelos, modo aliis ejusmodi nominibus cum variis earum officiis voce ipsa cohærentibus nuncupare consueverunt, dæmones vero quod attinet, (si tamen horum etiam nominis oporteat notationem explicare) non jam, ut Græcis placet, παρὰ τὸ δαήμονας εἶναι, quod scientes illi sint, sed παρὰ τὸ δειμαίνειν, hoc est quod timeant simul ac terreant, dæmonum ipsi nomen, quod suam in naturam belle conveniret, habuerunt. Nam divinas utique bonasque virtutes, ut moribus, sic etiam nomine sejunctas a dæmonibus esse decuit: absurdum enim supra modum id fuisset, quæ nulla cum iis neque instituti, neque morum similitudine conjunctæ essent, illas tamen unius ejusdemque cum ipsis nominis societate conjungi.

6 Age itaque, videamus aliquando quænam apud istos oraculorum

στηρίων τρόπος, ὡς ἂν μάθοιμεν ποίας χρὴ δυνάμεως
αὐτοὺς ἀποφήνασθαι, καὶ εἴτε ὀρθῶς αὐτῶν ἀνεχωρή-
σαμεν, εἴτε καὶ μή. Εἰ δὲ μέλλοιμι παρ' ἐμαυτοῦ τοὺς
ἐλέγχους τῶν δηλουμένων προφέρειν, εὖ οἶδ' ὅτι μηδ'
ἀνεπίληπτον παρέξω τοῖς φιλεγκλήμοσι τὸν λόγον.
Διόπερ αὐτὸς οὐδὲν οἴκοθεν εἰπὼν, αὖθις ταῖς τῶν ἔξωθεν
2 ἀποχρήσομαι μαρτυρίαις. Μυρίων δὲ ὄντων παρ' Ἕλ-
λησι λογογράφων τε καὶ φιλοσόφων, πρὸ πάντων ἐπι-
τήδειον εἰς τὰ προκείμενα ἐγκρίνω τὸν δαιμόνων φίλον
αὐτὸν ἐκεῖνον, ὃς δὴ καθ' ἡμᾶς γεγονὼς ταῖς καθ' ἡμῶν p. 143
ἐλλαμπρύνεται ψευδηγορίαις. Μάλιστα γὰρ φιλοσό-
φων οὗτος τῶν καθ' ἡμᾶς δοκεῖ καὶ δαίμοσι καὶ οἷς
φησὶ θεοῖς ὡμιληκέναι, ὑπέρ τε τούτων πρεσβεῦσαι, καὶ
πολλῷ μᾶλλον τὰ περὶ αὐτῶν ἀκριβέστερον διηρευνη-
[86] 3 κέναι. Οὗτος τοιγαροῦν ἐν οἷς ἐπέγραψε Περὶ τῆς ἐκ

d 3. χρὴ] χρῆν C.D.F.G. 7. προφέρειν] προσφέρειν H. μηδ'] μὴ B.G.H. 8. τοῖς φιλ. τὸν λ.] τὸν λ. τοῖς φιλ. B.C.F.G. φιλεγκλήμοσι] φιλεγκλήμασι H. 10. ἀποχρήσομαι] ἀποχρήσωμαι A. 11. ὄντων] ὄντων τε D. 12. τε καὶ φιλοσόφων om. A.H. Mox τῶν δαιμόνων H.

p. 143. 1. ἐλλαμπρύνεται] ἠλαμπ. C. ἐνλαμπ. B. ἐλλαμπρύνετο D. ἐλαμπ. G. 2. φιλοσόφων οὗτος] οὗτος φιλ. B.C.E.F.G. 4. ὡμιληκέναι] ὡμιληκόσιν B. ὑπέρ τε] ὑπὲρ δὲ H. Mox μᾶλλον πολλῷ H. 5. παρ' ἑαυτῶν] περὶ αὐτῶν A.H. αὐτῶν Vigeri margo. τὰ π. ἑ. om. C. 6. διηρευ.] διερευ. A.H. τοιγαροῦν] γὰρ οὖν C.

ratio fuerit, ut simul intelligamus cujusmodi vim iis attribuere nos
oporteat, quamque jure vel secus ab iisdem recesserimus. Et quidem
si argumentis ipse meis id quod nunc agitur conficere vellem, non
satis immunem tutamque, sat scio, disputationem meam ab omni
litigiosorum hominum reprehensione calumniaque præstarem. Quare
nihil domo promptum afferam, sed testimoniis, quod adhuc feci,
2 alienis utar. Ex omnibus tamen Græcis cum historicis, tum etiam
philosophis, qui sane infiniti sunt, unum præ cæteris idoneum hanc
in rem futurum illum putavi, qui et dæmonum amicus fuit, et
nostra ætate vixit, et præcipuum sibi decus instituto nostro menda-
cissime traducendo quæsivit. Enimvero philosophos inter qui nostra
memoria floruerunt, videtur iste maximam cum dæmonibus, quos
ipse deos nominat, consuetudinem iniisse, caussam eorum studio-
sissime defendisse, et quicquid ad ipsorum naturam ac religiones
3 pertinebat longe omnium accuratissime rimatus esse. Hic igitur in

λογίων φιλοσοφίας, συναγωγὴν ἐποιήσατο χρησμῶν τοῦ τε Ἀπόλλωνος καὶ τῶν λοιπῶν θεῶν τε καὶ ἀγαθῶν δαιμόνων, οὓς καὶ μάλιστα ἐκλεξάμενος αὐτῷ ἡγήσατο ἱκανοὺς εἶναι εἴς τε ἀπόδειξιν τῆς τῶν θεολογουμένων b
ἀρετῆς, εἴς τε προτροπὴν ἧς αὐτῷ φίλον ὀνομάζειν θεο-
4 σοφίας. Ἐκ δὴ τούτων τοιγαροῦν τῶν ἐγκριθέντων καὶ μνήμης ἀξιωθέντων λογίων διακρῖναι καλὸν τοὺς χρησμολόγους, καὶ σκέψασθαι ποίας ποτὲ ὄντες τυγχάνουσι δυνάμεως. Πρῶτον δὲ θεασώμεθα, ὅπως τῆς γραφῆς ὁ δηλωθεὶς ἀνὴρ ἀρχόμενος ἡμῖν ἀληθεύειν ἐπόμνυται, λέγων οὕτως·

7 Βέβαιος δὲ καὶ μόνιμος ὁ ἐντεῦθεν, ὡς ἂν ἐκ μόνου βεβαίου τὰς ἐλπίδας τοῦ σωθῆναι ἀρυτόμενος, οἷς δὴ καὶ μεταδώσεις d
μηδὲν ὑφαιρούμενος. Ἐπεὶ κἀγὼ τοὺς θεοὺς μαρτύρομαι, ὡς οὐδὲν οὔτε προστέθεικα, οὔτε ἀφεῖλον τῶν χρησθέντων νοη-

ΠΟΡΦΥΡΙΟΥ

a 7. φιλοσοφίας] φυσιολογίας C.F.G. 10. οὓς καὶ] καὶ om. B.C.D.F.G.H. 11. αὐτῷ] ἐξ αὐτῶν A.H.V. γρ. S. εἴς τε] τε om. B.C.D.F.G. Mox τῆς om. B.H. qui addit τῆς ante ἀρετῆς. b 2. τῆς ὡς αὐτῷ] ἧς αὐτῷ A.H. Supra τροπὴν H. pro προτροπήν. 3. ἐκκριθέντων] ἐγκριθ. C.D.G. 4. ἀξιωθῆναι D. 8. ἦ μὴν] ἡμῖν A.H.V. γρ. S. Vid. varr. lectt. Sophocl. Aj. 679. ed. Dindorf. Tum ἀληθεύων C.F.G. Mox λέγων οὕτως om. A.H. c 6. ἐντεῦθεν] ὡς ἐντεῦθεν addit C. 8. ἀρυτόμενος] ἀρπόμενος A.H. ἀρυόμενος F. ἀρπώμενος V. γρ. S. οἷς—μεταδωσεις] οὓς—μεταδόσεις A. οὓς item H. μεταδόσεις E. d. τὶ θεοὺς] τοὺς θεοὺς A.C.F.G.H. om. D.

iis quæ de philosophia ex oraculis hausta conscripsit, pleraque tum Apollinis, tum cæterorum quoque deorum ac bonorum dæmonum responsa collegit, quorum fide non eorum sese modo, quibus divinitatem attribuunt, vim ac potestatem ostendere, sed etiam homines ad divinæ, uti vocare amat, sapientiæ studium excitare posse confi-
4 deret. Æquum itaque fuerit, ex iis quæ tanquam memoria dignissima selegit oraculis de eorum auctoribus prudenter judicare, et cujusmodi potestate sint præditi diligentius inquirere. Sed animadvertamus in primis, quemadmodum ipso statim operis initio vera se dicturum laudatus scriptor jurejurando confirmet, his concepto verbis:

7 Constantis utique est solidæque firmitatis, quisquis inde tanquam ex eo quod solidum unum est, spem suæ salutis haurit: cujusmodi cum hominibus oraculorum istorum sapientiam communica nulla sui parte decurtatam. Etenim deos ipse testor, nihil abs me vel responsorum ad mentem

ΠΟΡΦΥΡΙΟΥ *μάτων· εἰ μή που λέξιν ἡμαρτημένην διώρθωσα, ἢ πρὸς τὸ σαφέστερον μεταβέβληκα, ἢ τὸ μέτρον ἐλλεῖπον ἀνεπλήρωσα, ἤ τι τῶν μὴ πρὸς τὴν πρόθεσιν συντεινόντων διέγραψα· ὡς τόν τε νοῦν ἀκραιφνῆ τῶν ῥηθέντων διετήρησα, εὐλαβούμενος τὴν ἐκ τούτων ἀσέβειαν μᾶλλον ἢ τὴν ἐκ τῆς*
2 *ἱεροσυλίας τιμωρὸν ἑπομένην δίκην. Ἕξει δὲ ἡ παροῦσα συναγωγὴ πολλῶν μὲν τῶν κατὰ φιλοσοφίαν δογμάτων ἀναγραφήν, ὡς οἱ θεοὶ τἀληθὲς ἔχειν ἐθέσπισαν· ἐπ' ὀλίγον δὲ καὶ τῆς χρηστικῆς ἁψόμεθα πραγματείας, ἥ τις πρός τε τὴν θεωρίαν ὀνήσει, καὶ πρὸς τὴν ὅλην κάθαρσιν τοῦ βίου. Ἣν* p. 144
δ' ἔχει ὠφέλειαν ἡ συναγωγή, μάλιστα εἴσονται ὅσοιπερ τὴν ἀλήθειαν ὠδίναντες ηὔξαντό ποτε τῆς ἐκ θεῶν ἐπιφανείας τυχόντες ἀνάπαυσιν λαβεῖν τῆς ἀπορίας διὰ τὴν τῶν λεγόντων ἀξιόπιστον διδασκαλίαν.

Τοιούτοις χρησάμενος προοιμίοις, μαρτύρεται καὶ προκαταγγέλλει μὴ εἰς πολλοὺς ἐκφῆναι τὰ λεχθησόμενα, λέγων οὕτως·

d 4. ἡμαρτημένην] διημαρτημένην H. 5. μεταβέβληκα] μεταβέβηκα A.H. μετεβέβληκα F. ἐλλεῖπον] ἐκλεῖπον H. 6. πρὸς τὴν om. C. 15. ἐπ' ὀλίγον—κολακείας om. B. 16. ἁψόμεθα] ἀψώμεθα A.C.F.G. Mox πρόσθεν D. ult. καὶ τὴν] καὶ πρὸς τὴν A.H. ἄλλην C.E.F.G. pro ὅλην.
p. 144. 2. μάλιστα] καὶ μάλιστα C.F.G. qui mox περὶ pro περ. ὠδίναντες] ὤδινάν τε καὶ A. ὠδίνανται καὶ H. 3. ηὔξαντο] ηὐξάνοντο H. 4. λαβεῖν] λωβεῖν C. ἀπορίας] ἀπορροίας A.H. 6. τοιούτοις—οὕτως om. F.G. 7. προκαταγγέλλει] προπαραγγ. A.H. qui mox om. λέγων οὕτως.

ac sententiam additum, vel ex ea detractum fuisse; nisi forte sicubi aut voculam errore vitiatam emendavi, aut majoris perspicuitatis gratia illustriore commutavi, aut versuum quod deerat mensuræ numeroque supplevi, aut quod nihil ad rem omnino faceret expunxi. In quo tamen sensum ego verborum integrum ubique sincerumque servavi, et quidem impietatis alioqui futuræ metu potius, quam pœnæ sacrilegum facinus excepturæ.
2 Ejusmodi autem erit hæc nostra collectio, quæ cum amplam continebit dogmatum philosophiæ copiam, prout ipsa cum veritate conjuncta esse dii pronuntiarint; tum aliquid etiam divinandi artis attinget, quatenus partim ad contemplationem, partim ad integram vitæ procurationem conducere videbitur. Quantum vero utilitatis habeat, intelligent ii maxime, qui cum veritatem ægre parturirent, vota fecerunt aliquando, ut numinum ipsorum visione concessa, ab omni dubitationis fluctuatione conquiescerent, dicentium auctoritate omni fide dignissima confirmati.

Hæc ille præfatus, obtestatur atque ante denuntiat, uti nequis ea quæ dicturus est in vulgus enuntiet:

ΠΟΡΦΥΡΙΟΥ

8 Σὺ δ' εἴπερ τι καὶ ταῦτα πειρῶ μὴ δημοσιεύειν, μηδ' ἄχρι καὶ τῶν βεβήλων ῥίπτειν αὐτὰ δόξης ἕνεκα ἢ κέρδους ἤ τινος ἄλλης οὐκ εὐαγοῦς κολακείας. Κίνδυνος γὰρ οὔ σοι μόνον τὰς ἐντολὰς παραβαίνοντι ταύτας, ἀλλὰ κἀμοὶ ῥᾳδίως πιστεύσαντι, τῷ στέγειν παρ' ἑαυτῷ μὴ δυναμένῳ τὰς εὐποιίας. c
Δοτέον δὴ τοῖς τὸν βίον ἐνστησαμένοις πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν.

2 Καὶ μεθ' ἕτερα ἐπιλέγει·

Ταῦτά μοι ὡς ἀρρήτων ἀρρητότατα κρύπτειν· οὐδὲ γὰρ οἱ θεοὶ φανερῶς περὶ αὐτῶν ἐθέσπισαν, ἀλλὰ δι' αἰνιγμάτων.

3 Ἐπειδὴ τοίνυν τοιαῦτα ὁ λόγος ἀνετείνατο, φέρε, λοιπὸν διὰ τῶν ἐνθέων καὶ πυθοχρήστων λογίων σκεψώμεθα, ποταπὰς εἶναι τὰς θεολογουμένας ἀφανεῖς δυνάμεις προσήκει λογίζεσθαι· γένοιτο γὰρ καὶ ἀνδρὸς ἔλεγ-
4 χος ἐκ τῶν οἰκείων λόγων τε καὶ ἐπιτηδευμάτων. Ὁ δὴ οὖν προδηλωθεὶς ἀνὴρ ἐν αὐτοῖς οἷς ἐπέγραψε Περὶ

b 2. εἴπερ τι] εἴπερ τις H. 6. τὰς ἐντολὰς] τῆς ἐντολῆς C.F.G. Tum ταύτης G. 7. κἀμοὶ] καὶ μὴ C. καὶ μοι F. 8. μὴ δυναμ. τὰς εὐπ.] τὰς εὐπ. μὴ δ. C.F.G. c 2. σωτηρίαν] θεωρίαν B.C.D.F.G. Supra τῶν βίων H. 3. ἀρρήτων τὰ ἀρρητότερα] ἀρρήτῳ ἀρρητότατα A.H.V. γρ. ἀρρήτῳ S. 5. αὐτῶν] τούτων C.F.G. 8. λογίων om. F. λόγων H. 11. τε καὶ] τε om. F. 13. οἷς ἔγραψε τῆς H.

8 Tu vero, inquit, cave, si quicquam aliud, ne res istas palam extuleris, et gloriæ lucrive cupiditate, vel cujuscunque minus religiosæ assentationis studio ante profanorum hominum oculos projeceris: secus enim, non tibi solum, hæc si præcepta contempseris, verum etiam mihi periculum immineat, qui tanta deorum beneficia retinere apud me non potuerim, sed ea nimis facile tibi crediderim. Horum igitur in communionem ii tantum vocandi erunt, qui ad salutem animi vitæ suæ rationes instituerint.

2 Ac nonnullis interjectis:

Hæc tu, inquit, vide sis ut arcanis ipsis arcana magis et occulta habeas, propterea quod nihil de se dii planum atque perspicuum, sed obscura omnia suis oraculis effati sunt.

3 Age vero, quandoquidem speciosis adeo verbis hæc nobis auctor iste denunciat: videamus porro, quid de virtutibus illis quæ sub aspectum non cadunt, quæque ab iis deorum in numero reponuntur, ex responsis istis divinitus editis censere nos ac judicare oporteat. Sic enim intelligemus, suis ipsius cum verbis, tum studiis ac vitæ
4 rationibus hominem redargui. Nam qui libris iis quos de philoso-

τῆς ἐκ λογίων φιλοσοφίας, χρησμοὺς τίθησι τοῦ Ἀπόλ- d
λωνος, τὰς διὰ ζώων θυσίας ἐργάζεσθαι παρακελευομέ-
νου, καὶ μὴ μόνοις δαίμοσι, μηδὲ μόναις ταῖς περιγείοις
δυνάμεσιν, ἀλλὰ καὶ ταῖς αἰθερίοις καὶ οὐρανίοις ζωοθυ-
[87] 5 τεῖν. Ἐν ἑτέροις δὲ ὁ αὐτὸς δαίμονας ἀλλ' οὐ θεοὺς
εἶναι ὁμολογῶν ἅπαντας, οἷς Ἕλληνες τὰς δι' αἱμάτων
καὶ ζώων ἀλόγων σφαγῆς ἐπετέλουν θυσίας, μὴ χρῆναι
6 μηδ' ὅσιον εἶναι θεοῖς ζωοθυτεῖν φησίν. Ἄκουε τοιγα-
ροῦν τῶν πρώτων αὐτοῦ φωνῶν, δι' ὧν τὰ περὶ τῆς ἐκ
λογίων φιλοσοφίας συνάγων, πῶς ὁ Ἀπόλλων χρῆναι
θεραπεύειν τοὺς θεοὺς διδάσκει. Ὃ καὶ παρατίθεται
γράφων ὧδε·

9 ΠΟΡΦΥΡΙΟΥ Ἀκολούθως μετὰ τὰ ῥηθέντα περὶ εὐσεβείας ἃ περὶ τῆς p. 145
θεραπείας αὐτῶν ἔχρησαν ἀναγράφοιμεν ἄν, ὧν ἐκ μέρους
κἂν τοῖς περὶ εὐσεβείας φθάσαντες παρατεθείκαμεν. Ἔστι
δὲ ὁ χρησμὸς τοῦ Ἀπόλλωνος ἅμα καὶ διαίρεσιν τῆς τῶν
θεῶν περιέχων τάξεως, b

d 3. καὶ μὴ] καὶ om. A. 6. ἀλλ' οὐ] ἄλλοι F. 7. ὁμολογῶν] ὁμολογοῦσιν A. ὁμολογοῦσιν ἅπαντας εἶναι H. 8. σφαγῆς] σφαγὰς A. B.H. 9. μηδ'] δὲ μηδὲ A.H. Mox θεοῖς om. H. pen. χρῆναι om. D. θεραπεύειν] θεραπεύειν τε B. Tum τοὺς om. C. ult. ὃ καὶ om. A.H. Tum παρατίθεται γὰρ H.

p. 145. 5. εὐσεβείας] δυσεβ. C. 6. ἔχρησαν] ἐχρήσαντο C.F.G. 7. κἂν] καὶ B. εὐσεβείας φθάσαντες] τῆς ε. θεύσαντες F. 8. παρατεθείκαμεν] προτεθείκαμεν H.

phia ex oraculis haurienda scripsit, Apollinis responsa commemorat, quibus sacrificia cæsis animantibus fieri jubet, idque non dæmonibus solum aut vicinioribus terræ virtutibus, sed etiam ætheriis cælesti-
5 busque diis; idem alio quodam in opere non deos, sed dæmones eos omnes agnoscens, quibus Græci cæsis pecudibus faciebant, nec opor-
6 tere nec vero fas esse diis animantes immolare pronuntiat. Accipe igitur, quibus primum ipse verbis, promptam ex oraculis philosophiam edisserens, referat, quo ritu Apollo deos colendos esse docuerit. Rem totam ita persequitur:

9 Jam vero post ea quæ de pietate dicta sunt, ordine facturus mihi videor, si quæ de sui ipsorum cultu oraculis effati dii sunt, deinceps perscripsero, tametsi jam ex iis aliquid superiori de pietate disputationi asperserim. Est autem id quod sequitur Apollinis oraculum, quo ipsa quoque deorum suas in regiones distributio continetur.

2 Ἐργάζευ, φίλε, τήνδε θεόσδοτον ἐς τρίβον ἐλθὼν, ΠΟΡΦΥΡΙΟΥ
μήδ' ἐπιλήθεο τῶν μακάρων θυσίας ἐναρίζων,
πῇ μὲν ἐπιχθονίοις, πῇ δ' οὐρανίοις, ποτὲ δ' αἴθρης
αὐτοῖσιν βασιλεῦσι, καὶ ἠέρος ὑγροπόροιο,
ἠδὲ θαλασσαίοις καὶ ὑποχθονίοισιν ἅπασι·
πάντα γὰρ ἐνδέδεται φύσεως μεστώμασι τῶνδε. c
Ζώων δ' ὡς θέμις ἐστὶ τελευτῆσαι καθαγισμοὺς
ἀείσω, (δέλτοις δὲ χαράσσετε χρησμὸν ἐμεῖο,)
τοῖς μὲν ἐπιχθονίοις, τοῖς δ' οὐρανίοισι θεοῖσι·
φαιδρὰ μὲν οὐρανίοις, χθονίοις δ' ἐναλίγκια χροιῇ.
Τῶν χθονίων διάειρ. τριχῇ θυσίας ἐναρίζων, d
νερτερίων κατάθαπτε, καὶ εἰς βόθρον αἷμα ἴαλλε.
Χεῦε μέλι Νύμφαισι Διωνύσοιό τε δῶρα.
Ὅσσοι δ' ἀμφὶ γαίην ποτώμενοι αἰὲν ἴασι,
τοῖσδε φόνου πλήσας πάντῃ πυριπληθέα βωμὸν,
ἐν πυρὶ βάλλε δέμας θύσας ζώοιο ποτανοῦ,

b 4. ἐναρίζων] ἐναγίζων Valckenær. Eurip. Ph. Schol. p. 645. 6. αἴθρης] αἰθερίοισι B. αἴθραις F. αἰθὴρ H. 7. ὑγροπόροιο] ὑγροποιοῖς A.H. 10. θαλασσαίοις] θαλασσίοις H. ὑποχθ.] ἐπιχθ. B.C.D.F.G. c. ἐνδέχεται] ἐνδέδεται A.C.F.H.V. γρ. S. Mox ἴσ. μεστώματα Vigeri marg. 3. τελευτῆσαι καθαγισμοὺς ἀείσω] τελετὰς καθαγεισμοὺσας ἴσως (ἃς ἴσως H.) A.H. καθαγιασμοὺς ἄν σε C. καθαγιασμένους F.G. 5. χαράσσετε] χαράσσεται A.H. χαρίσσεται F. χαρίσσετε G. 6. ἐμοῖο] ὁμοῖον A.H. ἐμεῖο F.G. 7. τρεῖς μὲν] τοῖς μὲν A.H.S.V. Mox τὰς δ' V. τοῖς δ' H.S. d 4. μέλι] μέλιν A. Mox διονύσσοιο C.F.G. ἴσ. νύμφησι pro νύμφαις Vigeri margo. Dedi etiam Διωνύσοιο pro Διον. 6. γαῖαν] γῆν A. γαίην B.C.D.F.G. Tum ποτωμ. C.D.F. 10. θύσας ζώοιο] στήσας ζώσοιο C.F.G. Tum ποταμοῦ D.F.G. ποταμοῖο S.

2 Hoc age rite memor, superum qui numine dextro es
Hoc iter ingressus. Felicibus hostia divis
Abs te cæsa cadat, qui terras, altaque cœli
Templa tenent, quique ætheria regione morantur,
Aërioque regunt tractus, quique humida ponti
Marmora, quique umbras sortiti, Erebumque profundum:
Res etenim fusa est divum natura per omnes.
Sed quo quæque tibi mactanda animantia ritu,
Ante canam; puris responsum incide tabellis.
Terna quidem laribus, totidemque sacrare memento
Cœlitibus, verum hoc discrimine; candida nempe
Cœlitibus, larium sit concolor hostia terræ.
Quæ laribus fient, in ternas divide partes,
At quæ diis Erebi, terra sepelito sub alta,
Fumantemque cavis scrobibus demitte cruorem.
Fundito mel Nymphis, et mollia dona Lyæi.
Quæ circumvolitant humiles vaga numina terras,
His circum exundans succensa altaria sanguis
Impleat, et sacros avis integra cedat in ignes;

Varii sacrificandi ritus.

ΠΟΡΦΥΡΙΟΥ

καὶ μέλι φυράσας δηωῷ ἀλφίτῳ ἔνθεν,
ἀτμούς τε λιβάνοιο, καὶ οὐλοχύτας ἐπίβαλλε.
Εὖτε δ' ἐπὶ ψαμάθοισιν ἴῃς, γλαυκὴν ἅλα χεύας p. 146
κάκκεφαλῆς θυσίαζε, καὶ ἐς βαθὺ κῦμα θαλάσσης
ζῶον ὅλον προΐαλλε. Τελευτήσας τάδε πάντα
ἐς πλατὺν ἠερίων χορὸν ἔρχεο οὐρανιώνων.
Ἀστραίοις δ' ἤπειτα καὶ αἰθερίοις ἐπὶ πᾶσιν,
αἷμα μὲν ἐκ λαιμῶν κρουνώμασιν ἀμφὶ θυηλὰς
λιμνάζειν· τὰ δὲ γυῖα θεοῖς ἐν δαιτὶ πονεῖσθαι. b
Ἄκρα μὲν Ἡφαίστῳ δόμεναι, τὰ δὲ λοιπὰ πάσασθαι,
ἀτμοῖσιν λαροῖσιν ἐνιπλήσαντες ἅπαντα
ἠέρα ῥευσταλέον· ἐπὶ δ' εὐχὰς πέμπετε τοῖσδε.

3 Καὶ μετ' ὀλίγα ἐπεξηγεῖται τὸν χρησμὸν ἑρμηνεύων ὧδε·

Αἱ δὲ θυσίαι ἔχουσι τὸν τρόπον τοῦτον, κατὰ τὴν προρρηθεῖσαν διαίρεσιν τῶν θεῶν ἐκδεδομέναι. Ὄντων γὰρ ὑπο- c

d 12. φυρήσας] φυράσας A.H.V. φυράσης S. δηίῳ] διίῳ B. Δηωίῳ Scaliger. tum ἀλφίτας C.F.G. Vossii marg. ἔνθεν] ἔνθευ A.C.F.G. Vossii marg. Scaliger.

p. 146. εὖτε — προΐαλλε om. B. δ' ἐπὶ] δὲ παρ ψαμαθοισινης A. i. e. δὲ πὰρ ψαμάθοισιν ἴῃς. ψαμμάθοισιν G. δὲ παρ ψαμάθοισιν εἰς H. ἴῃς] ἔῃς Scaliger. 3. ἐς βαθὺ] εἰς βαρὺ A.H. 7. ἔρχεο] ἄρχεν C. ἔρχευ F. 12. θυηλὰς] θεκτὰς B. et θεητὰς em. θύη τὰς C. θυητὰς D. θύητας F.G. b. λιμνάζει] λιμνάζοι B.C. Vossii marg. λιμενάζοι F.G. λιμνάζειν em. Vigerus. Mox δὲ om. A.H. θεοῖς] θεῶν Scaliger. 2. πονεῖσθαι] ποιεῖσθαι F. 4. πάσασθαι] δάσασθαι A.H.V. γρ. S. 5. ἀτμοῖσιν— πετεινὰ om. B. λαροῖσιν] λαβροῖσιν A.H. γρ. S.V. ἐνιπλήσαντες] ἐνιπρήσαντες Vossii marg. 7. ῥευσταλέον] ῥευστὰ λοιπὸν A.H. πέμπετε] πέμπεο A.H.V. γρ. πέμπω S.

Sed prius infuso subigens tunsa hordea melle,
Hæc thuri admixta, et salsas super injice fruges.
Dum glauci maris ad tenues facturus arenas
Veneris, in caput excussam, totamque profundos
Porricito in fluctus volucrem. Queis rite peractis,
Ad magnos exinde choros vestigia flecte
Cœlituum. Sacer ætheriis honor omnibus idem,
Effusum scatebris ad farrea liba cruorem
Stagnare, et nota deis apponere membra,
Summa quidem flammis imponere; cætera mensis,
Tu liquidas gratis imple suffitibus auras
Interea, et castis urge pia numina votis.

3 Tum ille paucis interjectis hanc istius oraculi subjicit explicationem :

Sacrificiorum, inquit, ejusmodi ritus est, ad eam quæ superius allata est numinum partitionem accommodatus. Nam quod ex diis aliqui subterranei

ΠΟΡΦΥΡΙΟΥ

χθονίων καὶ ἐπιχθονίων θεῶν, καὶ τῶν μὲν ὑποχθονίων καὶ νερτερίων καλουμένων, τῶν δ' ἐπιχθονίων καὶ χθονίων κληθέντων θεῶν, κοινῶς μὲν τούτοις ἱερεῖα τετράποδα μέλανα θύειν παρακελεύεται. Περὶ δὲ τὸν τρόπον τῆς θυσίας ἐξαλλάττει· τοῖς μὲν γὰρ ἐπιχθονίοις σφάζειν ἐπὶ βωμῶν, τοῖς δ' ὑποχθονίοις ἐπὶ βόθρων παρακελεύεται, καὶ μέντοι καὶ
4 θάπτειν τούτοις θύσαντας τὰ σώματα. Ὅτι γὰρ κοινὰ d
τούτων καὶ τὰ τετράποδα αὐτὸς ἐρωτηθεὶς ἐπήγαγε,

Ξυνὰ πέλει χθονίων καὶ ὑποχθονίων τάδε μούνων,
τετράποδα χθονίοις ἀρνῶν νεοπηγέα γυῖα.

Τοῖς δὲ ἀερίοις πτηνὰ θύειν παρακελεύεται ὁλοκαυτοῦντας, καὶ τὸ αἷμα ἐπὶ τῶν βωμῶν περιάγοντας· τοῖς δὲ θαλασσίοις πτηνὰ μὲν, ζῶντα δὲ ἀφιέναι εἰς τὰ κύματα, μέλανα τὴν χρόαν ὄντα. Φησὶ γὰρ,

Τοῖς δὲ θεοῖς τὰ πετεινὰ, θαλασσαίοις δὲ κελαινά.

c. 2. ὑποχθονίων] ὑποχθ. θεῶν H. καὶ ἐπιχ.] τῶν δ' ἐπ. A.H. 4. κληθέντων] καλουμένων A.H. 6. περὶ δὲ—παρακελεύεται om. C.F.G. ἄγειν γρ. S.V. pro θύειν. παρακελεύεται ἄγειν H. 7. ἐξαλλάττει] ἐξαλλάττεται H. 8. σφάζειν] σφάττειν H. 9. βόθρων] βόθρον D.H. καὶ θάπτειν] καταθάπτειν A.H. d. γὰρ] δὲ C.F.G. 2. τὰ τετρ.] τὰ om. A.H. Mox τούτων H. post τετράποδα. 4. ξυνὰ] ξοινὰ C.G. Mox καὶ ἐπιχθ. om. D. ξυνὰ—τετράποδα F. ἐπιχθονίων] ὑποχθ. A.V. γρ. S. ut conj. Vigerus. 6. ἀρνῶν νεοπηγέα γυῖα. τοῖς δὲ ἀερίοις πτηνὰ θύειν] ἀρρένων νέα πίονα θύειν παρακελ. A. ἀρρένων νέα πίονας H. τὰ δὲ ἀερ. C.F.G. 9. καὶ τὸ αἷμα ἐπὶ τῶν βωμῶν] καὶ τὸν βωμὸν καὶ τὸ αἷμα περιάγοντας A.H. τὸν βωμὸν C.D. 10. θαλασσίοις δὲ] δὲ θαλ. E. 11. μέλανα] μέλανα γὰρ C.F.G. 13. τοῖς δὲ θεοῖς τὰ πετεινὰ] τοῖς θεοῖς τὰ περὶ γῆν A.H. δὲ om. F. Tum θαλασσίοις G.H.

sint, alii terrarum incolæ; ac subterranei quidem inferi, quemadmodum terrarum incolæ, terrestres præterea nominentur; victimas quadrupedes easque nigri coloris omnibus ex æquo immolari, dissimilem tamen sacrificii ritum esse jubet. Terrestribus enim hostiam altari impositam jugulari præcipit, subterraneis autem in fovea, sic nimirum ut cadaver integrum
4 terra quasi sepultum obruatur. Nam quadrupedes quidem cum illis omnibus esse communes, sequentibus versibus ita declarat,

Terrarumque Erebique deis communia solis
Quadrupedum agnorum juvenilia corpora sunto.

Aëriis autem numinibus immolandas volucres, totasque flammis concremandas, earumque sanguinem circum altare fundendum esse monet: at marinis, volucres quidem, sed quæ atro colore sint, ac medios in fluctus vivæ adhuc spirantesque porriciantur: sic enim ait,

Omnibus hisce deis volucris, sed nigra marinis.

ΠΟΡΦΥΡΙΟΥ

5 Πᾶσι μὲν λέγων τοῖς θεοῖς πλὴν τῶν χθονίων τὰ πετεινὰ,
μόνοις δὲ τοῖς θαλασσίοις τὰ κελαινὰ, οὐκοῦν τοῖς ἄλλοις p. 147
λευκά. Τοῖς δ' οὐρανίοις καὶ αἰθερίοις τὰ ἄκρα τῶν ἱερείων
[88] λευκῶν ὄντων ἀφιεροῦν, τὰ δὲ λοιπὰ μέρη ἐσθίειν· ἐκ μόνων γὰρ
τούτων βρωτέον σοι, ἐκ δὲ τῶν ἄλλων, μή. Οὓς δὲ εἴρηκεν ἐν
6 τῇ διαιρέσει οὐρανίους, τούτους ἐνταῦθα ἀστραίους. Ἆρ' οὖν
δεήσει ἐξηγήσασθαι τῶν θυσιῶν τὰ σύμβολα τῷ εὐσυνέτῳ
δῆλα; τετράποδα μὲν γὰρ τοῖς χθονίοις καὶ χερσαῖα· τῷ
γὰρ ὁμοίῳ χαίρει τὸ ὅμοιον. Χθόνιον δὲ τὸ πρόβατον, καὶ
διὰ τοῦτο Δήμητρι φίλον, καὶ ἐν οὐρανῷ τὴν ἔκφανσιν ἐκ
τῆς γῆς τῶν καρπῶν μεθ' ἡλίου λοχεύει. Μέλανα δέ· τοι- b
αύτη γὰρ ἡ γῆ φύσει σκοτεινή. Τρία δὲ, τοῦ γὰρ σωματι-
7 κοῦ καὶ γεώδους τὰ τρία σύμβολον. Τοῖς μὲν οὖν ἐπιχθο-
νίοις ἄνω ἐπὶ βωμῶν δεῖ θῦσαι· ἐπὶ γὰρ τῆς γῆς ἀναστρέ-
φονται οὗτοι· τοῖς δ' ὑποχθονίοις ἐν βόθρῳ καὶ ἐν ταφῇ,
ἔνθα διατρίβουσι. Τὰ πτηνὰ δὲ τοῖς ἄλλοις, ὅτι πάντα θεῖ.

d. 15. πλὴν—θαλασσίοις om. A. ni fallor. πᾶσι—κελαινὰ om. H. ult. μόνοις] Μούνοισι δέ γε τοῖς B. τοῖς θαλασσίοις] τοῖς om. C.F.G.
p. 147. τοῖς οὐρ.] τοῖς δ' οὐρ. A.B.C.E.F.G.H. 2. δὲ καὶ] τε καὶ A.H. δὲ om. B.C.D. 3. ὄντων om. D. 4. γὰρ] τῶν B. μόνον H. pro μόνων. 5. εἴρηκεν] εἰρήκαμεν B. 8. ἢ τῷ εὐσυνθέτῳ H. 9. καὶ χερσαῖα] καὶ om. A.H. 11. καὶ ἐν οὐρ.] καὶ om. B. 12. ἔκφανσιν] ἐκφάνησιν A.H. b. λοχεύει] λοχεύειν D. χολεύει E. μέλανα] μέλαινα B.C.F.G. δὲ statim addunt C.F. 2. τοῦ γὰρ] γὰρ om. G. 3. σύμβολα] σύμβολον B.C.D.F. 4. βωμὸν] βωμῶν A.B.C.E.H. Supra οὖν om. E. 6. ἐν βόθρῳ] ἄνω B.

5 Diis quidem omnibus, si terrestres excipias, volucres assignans, solisque
marinis atras; cæteris igitur candidas. Jam vero cœlestibus ætheriisque
numinibus summas duntaxat candidarum victimarum partes consecrandas,
quod superest, comedendum esse docet: hoc enim ex solo victimarum
genere vesci fas tibi esse, non ex alio. Cæterum, quos in ipsa divisione
6 cœlites nominarat, eosdem hic astræos vocat. Ecquid porro necesse fuerit
sacrificiorum istorum symbola explicare, prudenti homini satis per sese
nota? Enimvero quadrupedes quidem eæque terrestres diis terrestribus
immolantur; simili enim simile delectatur: pecus autem sane terrestre
est, eoque Cereri placet, atque in cœlo frugum ipsarum ex terræ visceribus
eductionem una cum sole parturit. Eædem nigri coloris esse debent, quod
terra natura sua obscura sit: numero tres, quod ternarius corpoream ter-
7 renamque naturam repræsentet. Jam terrestribus quidem sursum, hoc
est, altaribus impositæ hostiæ mactantur, quod ii supra terram degere
consueverint; subterraneis autem, in foveis ac sepulcris, ubi volutantur.
At vero numinibus reliquis, quod omnia perpetuo ferantur cursu, volucres
immolantur: nam marina quidem aqua nec motum unquam intermittit, et

ΠΟΡΦΥΡΙΟΥ

Καὶ γὰρ τὸ ὕδωρ ἀεικίνητον τῆς θαλάσσης, μέλαν δέ· διὸ καὶ τὰ τοιαῦτα ἱερεῖα πρόσφορα. Τοῖς δὲ ἀερίοις, λευκά· πεφώτισται γὰρ καὶ ὁ ἀὴρ φύσεως ὢν διαφανοῦς. Οὐρανίοις δὲ καὶ αἰθερίοις τὰ ἐπὶ τῶν ζώων κουφότερα, ἅπερ ἐστὶν c ἄκρα, οἷς κοινωνεῖν τῆς θυσίας δεῖ. Δοτῆρες γὰρ οὗτοι ἀγαθῶν, οἱ δὲ ἄλλοι τῶν κακῶν κωλυτῆρες.

Τοιαῦτα μὲν τὰ ἀπὸ τῆς ἐκ λογίων φιλοσοφίας τοῦ θαυμαστοῦ θεοσόφου.

d

Φέρε δὲ, τοῦ αὐτοῦ τὰς ἐναντίας τούτοις φωνὰς συγκρίνωμεν, ἃς τέθειται ἐν οἷς ἐπέγραψε Περὶ τῆς τῶν ἐμψύχων ἀποχῆς. Ἔνθα δὴ ὀρθῷ λογισμῷ κινούμενος πρῶτον ἁπάντων ὁμολογεῖ μὴ δεῖν τὸ καθόλου μηδὲν μήτε θυμιᾶν, μήτε θύειν τῷ ἐπὶ πᾶσι Θεῷ, ἀλλὰ μηδὲ
2 ταῖς μετ' αὐτὸν θείαις καὶ οὐρανίαις δυνάμεσιν. Εἶτα δὲ ἐπεξιὼν τὰς τῶν πολλῶν ὑπολήψεις ἀνασκευάζει, μὴ

ὁ εὐλαβὴς καὶ μὴ θύων δαίμοσιν, ὁ τοῖς πονηροῖς θύειν διὰ τοῦ χρησμοῦ παραινῶν τίς ἂν εὐλόγως καὶ ποδαπὸς
3 νομισθείη, σοι καταλείπω σκοπεῖν. Ἐντεῦθεν δὲ ἀναδραμόντι προφανὲς ἔσται, ποῖοί τινες ὑπῆρχον τὴν τοῦ τρόπου φύσιν οἱ ταῖς ἀνθρωποθυσίαις χαίροντες, ἢ οἱ τούτοις πᾶν τὸ ἀνθρώπινον γένος πάλαι πρότερον κατα-

d 6. ψυχῶν] ψυχὴν D.F.G. 8. Ἠερίων] Ἱερήων C.F.G. μυχῶν] μύθων A.H. μιχῶν F. 14. παρακελευόμεθα—καθαρὰ . . ψυχὴ D. παρακελευόμεθα item F.G. 15. ἐπιτίθεσθαι] ἐπιθέσθαι A. ἐπιθέσθαι ἀδύνατον H. omisso μή. αὐτοῖς] αὐτοῦ E. 16. καὶ σώφρων] καὶ om. A.H.

p. 169. 1. ὀρθῶς ἐκρίθη τε] ἐκρίθη ὀρθῶς ὁ C.D.F.G. ὀρθῶς ἐκρίθη ὁ E. 3. ποδαπῶς νομισθείη] ποταπὸς νομισθῇ A.H. ποταπὸς item C.G. ποταμὸς F. 5. ἔσται] ἔστι D. 6. τὴν—φύσιν] τῇ—φύσει H. 8. ἀνθρώπινον] ἀνθρώπειον C.F.G.

Dæmon, aberrantes animas qui sorte perenni
Obscurosque regis supraque infraque recessus.

2 Hæc deus egregius, vel potius dæmon fraudis ac doli architectus: quibus plane contraria naturalis ratio statuit, dum et animum purgare jubet, et sacrificiis improborum dæmonum gratiam opemque captare vetat, quod puram illi sinceramque mentem aggredi propter morum dissensionem minime soleant. Quod si prudentem eum, si æquæ mentis hominem esse merito judicarunt, qui a dæmonum sacrificiis religiose abstineret: qui suis oraculis ad improbis etiam litandum hortatur, qui tandem et qualis haberi debeat, tibi statuendum
3 relinquo. Cæterum hinc retro superiora repetenti tibi certo evidenterque constabit, cujusmodi natura moribusque fuerint, tum qui humanis victimis delectarentur, tum qui humanum genus eorum tyrannidi ex omni memoria manciparant. Nam si erit fortasse quispiam, qui hanc immolandorum hominum consuetudinem omni

δεδουλωμένοι. Εἰ δὲ λέγοι τις μὴ φαῦλον εἶναι τὸν
τῆς ἀνθρωποθυσίας τρόπον, ὀρθότατα δ' ὑπὸ τῶν πα-
λαιῶν τελεῖσθαι, ὥρα τοῖς νῦν καταμέμφεσθαι πᾶσιν,
ὅτι μηδεὶς ὁμοίως τοῖς πατράσιν εὐσεβεῖ. b

21 Εἰ δ' ἐμφρόνως οἱ καθ' ἡμᾶς τῆς ἀπηνοῦς καὶ ἀγρίας c
ὠμότητος τὴν ἀποστροφὴν ἐποιήσαντο, τῶν παλαιῶν
οὐδεὶς ἦν ἄρα σοφὸς, τοὺς πονηροὺς δαίμονας ταῖς ἀν-
θρωποκτονίαις μειλισσόμενος. Ἀλλὰ γὰρ καὶ τυφλῷ,
φασὶ, δῆλον, ὡς οὔτε θεοὶ ἂν εἶεν, οὔτε δαίμονες ἀγαθοὶ,
οἱ πάλαι πρὸς τῶν ἐθνῶν ἁπάντων θεολογούμενοι, πορ-
2 ρωτάτω δὲ τοῦ ἀγαθοῦ ἐξῳκισμένοι. Διὸ καὶ ἐνδίκως
θεομάχοι τινὲς καὶ ἀσεβεῖς λεχθεῖεν, τὸν πάντα λυμην-
άμενοι βίον, ὧν ἐξ αἰῶνος οὐδεὶς ἢ μόνος ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν ὁ Χριστὸς τοῦ Θεοῦ πᾶσιν ἀνθρώποις τὴν d
φυγὴν προεξένησεν, εὐαγγελιζόμενος ὁμοῦ πάντας Ἕλλη-

a 9. λέγοι] λέγει C.G. 10. τὸν om. D. 12. τοῖς νῦν] τοίνυν A.H. b μηδεὶς] μηδὲν A.H. c 6. φασι om. A.H. ἂν εἶεν οὔ. δ. ἀ.] εἶεν ἂν ο. ἀ. δ. A.H. Mox πρὸ C.F.G. 12. ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ] ἡμῶν ὁ χριστὸς τοῦ θεοῦ A.H. vid. Hist. Eccl. II. 27. Sed Ἰησοῦς retinet H. ὁ υἱὸς τοῦ Θεοῦ om. E. d 2. προεκήρυξεν] προεξένισεν B.D. προεξένησεν C.F.G. v. infra p. 178. c 4.

scelere purgabit, atque a veteribus sanctissime observatam esse defendet: erit sane quamobrem continuo posteros eorum universos reprehendat, quorum nullus hoc tempore ad priscam majorum suorum pietatem adhærescit.

21 Sin autem sano maturoque judicio, ab immani ac ferina crudelitate abhorrendum sibi ævi nostri homines putarunt; nullius profecto mentis fuit, quisquis e veteribus improbos dæmones hominum cæde placavit. Sed enim vel cæcus, ut aiunt, manifeste videat, nec deos, nec vero bonos dæmones eos fuisse, quotquot a cunctis olim gentibus deorum loco et nomine censebantur: sed potius ab eo quod bonum
2 est longissimo intervallo disjunctos, atque ejusmodi, quos jure et dei hostes, et impios propterea dixeris, qui genus vitamque hominum universam pessundederint. Atque istorum fugam odiumque nemo prorsus ex omni memoria, præter unum assertorem Dominumque nostrum Jesum Christum Dei filium, cunctis hominibus denuntiavit, quippe qui salutari evangelio patrii morbi medicinam Græcis pariter

νάς τε καὶ βαρβάρους θεραπείαν τῆς πατρικῆς νόσου, καὶ τῆς πικρᾶς καὶ παλαιοτάτης δουλείας ἐλευθερίαν· ἐφ' ἣν σπεύδειν ὁ τῆς εὐαγγελικῆς ἀποδείξεως παρορμᾷ λόγος, μεγάλῃ τῇ φωνῇ τοῖς πᾶσιν εἰς ἐξάκουστον βοῶν, Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν. Καὶ πάλιν, Ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημέ- p. 170
νους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. Ταῦτα γὰρ ἄνωθεν ἐκ παλαιοῦ τὰ θεῖα ὡς ἀληθῶς παρ' Ἑβραίοις ἐθέσπιζε λόγια, τὴν ἡμῶν τῶν πάλαι τυφλῶν τὰς ψυχὰς καὶ δαιμόνων πονηρῶν πολυπλόκοις δεσμοῖς πεπεδημένων ἀπολύτρωσιν εὐαγγελιζόμενα. Ὅθεν εἰκότως τοὺς τῆς διανοίας ὀφθαλμοὺς πρὸς τοῦ σωτηρίου λόγου καταυγασθέντες, σώφρονές τε καὶ εὐλαβεῖς καὶ συνετοὶ γενόμενοι, καὶ πάντων ἐλεύθεροι κακῶν, οὔτε

d 5. παλαιοτάτης] παλαιτάτης D.G. 7. πᾶσιν] τοῖς πᾶσιν A.H. ἐξάκουστον] ἀκουστὸν A.H. Mox εἵνεκεν A.C.

p. 170. 3. ἐθέσπιζε] ἐθέσπιζον H. 6. πεπεδημένων] δεδεμένων A.H. 9. λόγου καταυγ.] καταυγ. λόγου A. καταυγασθέντας λ. H. λ. καταυγασθέντας F.G. 10. καὶ εὐλαβεῖς καὶ συνετοὶ] καὶ συν. καὶ εὐλ. A.E.H. γενόμενοι] γινόμενοι B.C.F.G.

ac barbaris omnibus attulit, simulque ab acerbissima vetustissimaque
servitute libertatem, ad quam contento cursu properare omnes evan-
gelicæ demonstrationis urget oratio, magna palam voce, quæque a
Isa. 61, 1. nemine non exaudiri possit inclamans, *Spiritus Domini super me, eo
quod unxerit Dominus me: ad annuntiandum mansuetis misit me, ut
mederer contritis corde, et prædicarem captivis indulgentiam, et clausis
Isa. 42, 7. apertionem.* Iterumque, *Educere ex vinculis compeditos, et de domo
carceris sedentes in tenebris.* Hæc enim divina sane Hebræorum
oracula superioribus retro sæculis cecinerunt, quibus futurum aliquando feliciter annuntiabant, ut cæcæ quondam mentes nostræ, atque intricatis sceleratorum dæmonum vinculis impeditæ constrictæque solverentur. Quare nos, utpote qui et mentis oculos jam salutaris doctrinæ radiis collustratos habeamus, et ad veram aliquando temperantiam, religionem, sapientiamque traducti, omniumque malorum acerbitate liberati simus, istis nunquam, quibus divini-

*θύσομεν, οὔτε δουλεύσομεν τοῖς τῶν ἐθνῶν νενομισμέ-
νοις θεοῖς, οἳ δὴ καὶ ἡμῶν τὸ πρὶν κατετυράννουν·* b
*ἀχθέντες δὲ καὶ προσαχθέντες ὑπὸ τῆς τοῦ Σωτῆρος
ἡμῶν διδασκαλίας τῷ μόνῳ καὶ ἀληθεῖ Θεῷ, τῷ δὴ καὶ
δεσπότῃ καὶ τροφεῖ, σωτῆρί τε καὶ εὐεργέτῃ, καὶ ἔτι
ποιητῇ καὶ δημιουργῷ, καὶ παμβασιλεῖ τῶν ὅλων, μόνον
τοῦτον ἀληθῆ Θεὸν ἡγησόμεθα, καὶ μόνῳ τὸ προσῆκον
ἀπονεμοῦμεν σέβας, μόνον γεραίροντες, καὶ μόνον αὐτὸν
εὐσεβοῦντες, οὐχ ᾗ τοῖς δαίμοσι φίλον, ἀλλ' ᾗ τῷ πρὸς
αὐτοῦ καταπεμφθέντι πάντων ἀνθρώπων Σωτῆρι διὰ*
4 *τῆς εὐαγγελικῆς αὐτοῦ διδασκαλίας παραδέδοται. Ταύ-* c
*τῃ δὲ θεοσεβοῦντες διώξομεν καὶ ἀπελάσομεν ἑαυτῶν,
πολλοῦ δεῖ φοβηθησόμεθα, τοὺς πονηροὺς δαίμονας δι'*
[102] *ἁγνείας καὶ καθαροῦ τρόπου βίου τε σώφρονος καὶ παν-
αρέτου, τοῦ δὴ πρὸς τοῦ Σωτῆρος ἡμῶν διωρισμένου·
καθαρᾷ γὰρ μὴ δύνασθαι ψυχῇ πλησιάζειν διὰ τὸ ἀνό-*

b. *καὶ ἡμῶν τὸ πρὶν*] *τὸ πρὶν καὶ ἡμῶν* H. 4. *σωτῆρι*] *σωτηρίου* C. 8. *οὐχὶ*] *οὐχ ᾗ* A.B.H. *οὐχὶ* diserte D. Tum *ᾗ* B.C. 9. *ᾗ*] *ᾗ* A. Mox *πάντων ἀνθρώπων* om. A.H. 11. *τῆς* om. F. c. *ἀπελάσομεν*] *ἀπελάσωμεν* B.C.D.H. *καὶ* om. D. 2. *δεῖ*] *δὴ* C.H. 3. *ἀγνοίας*] *ἁγνείας* A. Viger. 5. *πρὸς τοῦ*] *τρόπου* A.H. Supra *τοῦ* om. H. 6. *καθαρᾷ γὰρ—χωρεῖν* om. B.

tatem gentes affinxere, quique nos etiam antea tyrannide sua oppressos tenebant, neque sacrificium faciemus in posterum, neque serviemus: sed propius tandem ad solum verumque Deum, Servatoris nostri præceptis, sic tanquam manu deducti, Deum, inquam, illum, hujus universitatis dominum simul atque nutricium, cujus providentia ac benignitate rerum salus omnium continetur, quique eas ut molitus unus atque architectatus est, sic easdem summo deinceps regit imperio; unum eum quoque verumque Deum esse credemus, uni justos honores tribuemus, unum sacro cultu omnique religionis officio prosequemur, idque non jam dæmonum ritu, sed eo tantum, quem nos evangelica voce missus ab eodem humani generis assertor edocuit.
4 Atque hoc genere pietatis exculti, tantum aberit, ut improborum dæmonum metu terreamur, ut eos potius integritate mentis, morum innocentia, vita denique castiore, atque ad omnem virtutem Servatoris nostri præceptis instituta procul abigamus atque expellamus.

μοιον ὡμολόγηται. Ἀλλ᾽ οὐδὲ μαντείας καὶ χρησμῶν δεησόμεθα, οὐδὲ σπλάγχνα ζώων διερευνήσομεν, οὐδέ τι τῶν διὰ δαιμονικῆς κινήσεως ἐνεργουμένων πολυ-
5 πραγμονήσομεν. Ὧν γὰρ ἕνεκα ταῦτα τοῖς πολλοῖς d σπουδάζεται, τούτων ἡμῖν ἀφίστασθαι μελετᾶν ὁ τοῦ Χριστοῦ λόγος διεστείλατο, μόνων δὲ ἐκείνων ἐφίεσθαι προὔτρεψε, περὶ ὧν ἀληθῶς μάντις μὲν οὐδεὶς οὐδὲ σπλάγχνα ζώων μηνύσει τὸ σαφὲς, αὐτὸς δὲ μόνος ὁ τοῦ Θεοῦ Λόγος, ὁ ἐν τοῖς ἀληθινοῖς ἐνοικῶν σπλάγχνοις τῶν οἵων τε αὐτὸν δι᾽ ἄκραν ψυχῆς καθαρότητα ἔνδον ἐν ἑαυτοῖς χωρεῖν. Περὶ ὧν φησί που ἐν τοῖς ἱεροῖς γράμμασιν, *Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός.*

6 Ταῦτα μὲν οὖν τὰ ἀπὸ τοῦ περὶ θυσιῶν τόπου ἀπε- p. 171
λεγκτικὰ τῆς τῶν δαιμόνων μοχθηρίας. Ἄκουε δ᾽ οἷα

c 7. ὡμολόγηται] ὡμολογεῖτο A.H. ὡμολογοῖτο E. 9. διερευνήσομεν] ἐρευνήσομεν A.H. d. σπουδάζεται] σπουδάζεσθαι D. ἀφίστασθαι] ἀφίσταται F. Supra τούτων om. H. 4. ἀληθῶς] ἀληθὴς H. 5. τὸ σαφὲς] τὸ om. H. 6. Λόγος] λόγος σαφέστατα H. 7. οἵων τε] οἷόν τε A.D.H. 8. ἔνδον] ἔνδυον F. et mox φασί. 10. ἐν αὐτοῖς καὶ ἐμπ.] καὶ ἐμπ. ἐν αὐτοῖς B.C.F.G. 12. τὰ ἀπὸ] τὰ om. A.H.
p. 171. 1. ἀπελεγκτικὰ] ἀπαγγελτικὰ B.F.G.

Illis enim ad puros sincerosque animos, propter dissimilitudinem aditum patere nullum, profani etiam hominis confessione liquet. Nihil etiam divinatione, deorumve responsis indigebimus, nec animantium exta rimabimur, nec ad eorum omnino quicquam, quæ sensibus dæmonum arte solent ac præstigiis illudere, curiosius atten-
5 demus. Nam quorum caussa genus hoc rerum vulgus hominum tanto studio consectatur, ab iis omni cura et animi provisione abstinendum nobis ac fugiendum Christi doctrina præcipit; sic ad ea tantum expetenda cohortatur, quorum certi plane verique nihil nec divinorum natio, nec animalium exta indicare possint: sed unum illud Dei Verbum, quod in veris eorum, qui propter summam animi puritatem ipsum capere interius complectique possunt, visceribus ac præcordiis habitat. De quibus in sacris literis sic alicubi loquitur.
2 Cor. 6, 16. *Inhabitabo in illis, et inambulabo inter eos: et ero illorum Deus, et ipsi*
6 *erunt mihi populus.* Sed hactenus istum Porphyrii de sacrificiis locum ad improbitatem dæmonum coarguendam persequuti simus.

περὶ τῶν αὐτῶν αὖθις ὁ τῆς Περὶ τῶν ἐμψύχων ἀποχῆς συγγραφεὺς ἱστορεῖ, διαρρήδην ὁμολογῶν τοὺς πονηροὺς δαίμονας ἐν σχήμασι πλείοσιν ἐντυπουμένους, καὶ παντοίας μορφὰς χαρακτηρίζοντας, λανθάνειν καὶ ἐξαπατᾶν τοὺς πολλοὺς τῶν ἀνθρώπων. Ἀγαθῶν γὰρ, φησὶν, ὑποδυόμενοι πρόσωπα, καὶ προσεταιριζόμενοι τὰ πλήθη διὰ τοῦ τὰς ἐπιθυμίας τῶν ἀνθρώπων ἐκκαίειν, τοὺς ἀνωτάτω θεοὺς ἑαυτοὺς ἐπιφημίζεσθαι βούλονται. Τοσοῦτόν τέ φησιν αὐτοὺς ἰσχῦσαι, b
ὡς ἀπατῆσαι καὶ τοὺς σοφωτάτους τῶν Ἑλλήνων ποιητὰς καὶ φιλοσόφους, οὓς καὶ ὁμολογεῖ τῆς τοῦ πλήθους γεγονέναι διαστροφῆς αἰτίους· ὅτι τε ἐξ αὐτῶν πᾶσα γοητεία συνέστη, καὶ τὰ πρὸς ἡδονὴν ἀνθρώποις δι' αὐτῶν προξενεῖται· ὅπως τε θεοὶ εἶναι βούλονται, δαίμονες ὄντες φαῦλοι· καὶ ὡς ἡ προεστῶσα αὐτῶν δύ-

a 5. πλείοσιν] πλείονας C.F.G. 6. παντοίαις μορφαῖς] παντοίας μορφὰς B.C.D.F.G. χαρακτηρίζοντας] χαρακτηρίζοντες H. 8. φησιν] vid. infra p. 172 b. ὑποδυόμενοι] ὑποδεικνούμενοι F. ὑποδεικνύμενοι G. 11. θεοὺς ἑαυτ.] θεοὺς om. C.F.G. ἐπινομίζεσθαι] ἐπιφημίζεσθαι B.C.G. ἑαυτῶν νομίζεσθαι E. νομίζειν H. b. φησὶν αὐτοὺς] αὐτούς φησιν A. φησὶν om. H. Supra βούλεται D. 3. καὶ] τε καὶ A.H. τις D. 5. ὅτι γε] ὅτι τε A.B.C.E.F.G.H. γοητεία] ἡ γοη. C.F.G. Tum σύνεστι B.C.F.G.

Nunc vero audi sis, quemadmodum ab iisdem præterea plerosque mortalium varia et multiplici formarum larvarumque specie clam in errorem ac fraudem impelli, citato sæpius opere De rerum animatarum abstinentia, idem ipse palam et aperte fateatur. Bonorum enim, inquit, vultum mentientes, blandeque multitudinem inflammandis hominum cupiditatibus illicientes, summorum ipsi deorum loco haberi censerique volunt. Et quidem eos tantum ait versutia potuisse, ut sapientissimos quoque Græcorum et poetas et philosophos deceperint, quos etiam vulgo errandi causam præbuisse confitetur. Quinetiam asserit, illorum ex præceptis universam præstigiarum artem esse conflatam, ab illis omnes voluptatis illecebras in hominum vitam profluxisse; eosdem, improbi dæmones cum sint, divinitatem affec-

ναμις δοκεῖ θεὸς εἶναι ὁ μέγιστος. Ταῦτα δὲ ὁ Πορφύριος πάντα τοῦτον ἱστορεῖ τὸν τρόπον· c

22 ΠΟΡΦΥΡΙΟΥ "Οσαι δὲ ψυχαὶ τοῦ συνεχοῦς πνεύματος οὐ κρατοῦσιν, ἀλλ' ὡς τὸ πολὺ καὶ κρατοῦνται, διὰ τοῦτο ἄγονταί τε καὶ φέρονται λίαν, ὅταν αἱ τοῦ πνεύματος ὀργαί τε καὶ ἐπιθυμίαι τὴν ὁρμὴν λάβωσιν· αὗται δὲ αἱ ψυχαὶ, δαίμονες μὲν
2 καὶ αὐταὶ, κακοεργοὶ δ' ἂν εἰκότως λέγοιντο. Καί εἰσιν οἱ d
σύμπαντες, οὗτοί τε καὶ οἱ τῆς ἐναντίας δυνάμεως, ἀόρατοί τε καὶ τελείως ἀναίσθητοι αἰσθήσεσιν ἀνθρωπίναις. Οὐ γὰρ στερεὸν σῶμα περιβέβληνται, οὐδὲ μορφὴν πάντες μίαν, ἀλλ' ἐν σχήμασι πλείοσιν· ἐκτυπούμεναι δὲ καὶ χαρακτηρίζουσαι τὸ πνεῦμα αὐτῶν αἱ μορφαὶ, τοτὲ μὲν ἐπιφαίνονται, τοτὲ δὲ ἀφανεῖς εἰσιν· ἐνίοτε δὲ καὶ μεταβάλλουσι τὰς μορφὰς,
3 οἵ γε χείρους. Τὸ δὲ πνεῦμα, ᾗ μέν ἐστι σωματικὸν, παθητικόν ἐστι καὶ φθαρτόν· τῷ δὲ ὑπὸ τῶν ψυχῶν οὕτως δεδέσθαι, ὥστε τὸ εἶδος αὐτῶν διαμένειν πλείω χρόνον, οὐ μὴν

b 10. πάντα om. A.H. Supra δὴ H. pro δέ. c 4. πνεύματος] σώ πνεύματος D. 6. κεκράτηνται] καὶ κρατοῦνται B.C.D.E.F.G. Porph. 7. αἱ τοῦ] αἱ om. A.H. 10. αὐταί.] αὐταί δε A. αὐταὶ δὲ H. d 2. ἀόρατοί τε καὶ τελ.] om. A H. 5. πάντες μίαν] μίαν πάντες A.H. Tum ἀλλ' ἢ ἐν A.B.C.D.F.G. Steph. 6. δὲ καὶ] δὲ om. C.F.G. καὶ om. H. qui statim χαρακτηρίζουσι. 11. τὸ δὲ ὑπὸ—τὰ ὅμοια om. B. τῷ δὲ et mox τὴν ψυχὴν C. τὴν ψυχὴν οὕτω F.G. τῷ δὲ H.

tare, adeoque principem eorum virtutem maximum numen videri. Quæ omnia Porphyrius hunc in modum exequitur :

22 Porph. Abst. II. 38. Quæcunqne, inquit, animæ conjunctum sibi adhærentemque perpetuo spiritum usque adeo non superant, ut ab eo potius in plerisque omnibus superentur, eæ proinde si quando sese spiritus iracundia, et cupiditatum æstus atque impetus effuderit, miserandum in modum jactari solent. Et ejusmodi animæ, dæmones quidem ipsæ quoque, sed improbi ac malefici
c. 39 2 jure nominentur: qui omnes, perinde ut ii qui contraria sub virtute censentur, nec oculis, nec alio quovis humano sensu attingi omnino possunt. Neque enim aut solidum corpus, aut eandem omnes formam, sed plures inter seque distinctas figuras præ se ferunt. Porro suo singulæ spiritu certis propriisque notis expresso imagines modo apparent, modo evanescunt, modo vultum speciemque mutant, ii saltem qui deteriores
3 sunt. Jam vero spiritus ille, quatenus quidem corporeus est, mutationi quoque et corruptioni est obnoxius: quod autem ad animas idem sic alligatus constrictusque sit, ut suam eæ propterea speciem paulo diutius

ἐστιν αἰώνιον· καὶ γὰρ ἀπορρεῖν αὐτοῦ τι συνεχῶς εἰκός ἐστι ΠΟΡΦΥΡΙΟΥ
4 καὶ τρέπεσθαι. Ἐν συμμετρίᾳ μὲν οὖν τὰ τῶν ἀγαθῶν, p. 172
ὡς καὶ τὰ σώματα τῶν φαινομένων· τῶν δὲ κακοποιῶν, ἀσύμμετρα. Οἳ πλέον τῷ παθητικῷ νέμοντες τὸν περίγειον τόπον οὐδὲν ὅ τι τῶν κακῶν οὐκ ἐπιχειροῦσι δρᾶν. Βίαιον γὰρ ὅλως καὶ ὕπουλον ἔχοντες ἦθος, ἐστερημένον τε τῆς φυλακῆς τῆς ἀπὸ τοῦ κρείττονος δαιμονίου, σφοδρὰς καὶ αἰφνιδίους, οἷον ἐνέδρας, ὡς τὸ πολὺ ποιοῦνται τὰς ἐμπτώσεις·
[103] πῇ μὲν λανθάνειν πειρώμενοι, πῇ δὲ βιαζόμενοι.

5 Καὶ ἑξῆς ἐπιλέγει·

Ταῦτα δὲ καὶ τὰ ὅμοια ποιοῦσι, μεταστῆσαι ἡμᾶς ἐθέ- b
λοντες ἀπὸ τῆς ὀρθῆς ἐννοίας τῶν θεῶν, καὶ ἐφ' ἑαυτοὺς ἐπιστρέψαι. Πᾶσι γὰρ τοῖς οὕτως ἀνομολόγως καὶ ἀκαταλλήλως γιγνομένοις αὐτοὶ χαίρουσι, καὶ ὥσπερ ὑποδύντες τὰ τῶν ἄλλων θεῶν πρόσωπα τῆς ἡμετέρας ἀβουλίας ἀπολαύ-

d 14. ἀπορρεῖν] ἀπορεῖν C.F.G. 15. εἰκός] εἰκότως A.H. Mox τρέφεσθαι Porph.
p. 172. 2. καὶ om. D. 3. κακοποιῶν] κακῶν A.H. οἳ] οἷον F.G. 5. ἐπιχειροῦσι δρᾶν] ἐπιχειροῦσιν δρᾶν H. 7. τῆς ἀπὸ τοῦ κρείττονος] τῆς φυσικῆς τῆς ἀπὸ τοῦ κρ. A.H. τῆς φυλακῆς τῆς ἀπὸ τ. κ. C.E.F.G.S. φυλακῆς D. 8. εὐδαιμονίας σφόδρας] δαιμονίας σφόδρα D.G. δαιμονίας σφοδρὰ C.F. σφόδρα item E. dedi δαιμονίου cum Porph. 11. ἑξῆς ἐπιλέγει] ἐπιλ. ἑξῆς A.H. b 3. ἐφ' ἑαυτοὺς] εἰς ἑαυτ. A.E.H. 4. ἀνομολόγως] ἀναλόγως E. γινομένοις] γιγνομένοις A. 6. τῆς] τὰ τῆς A.H. Mox ὑπολάβουσι D. ἀπολάβουσι F.

retineant, non est quidem ille sempiternus; (ejus enim continuo defluere
4 aliquid ac mutari verisimile est:) cæterum ut bonarum spirituus modicæ cujusdam ac justæ temperationis et magnitudinis est, quemadmodum et earum corpus, si quando nobis appareant, sic maleficarum nulla spiritus est corporisve proportio. Atque genus hoc dæmonum, ut in locis terræ vicinioribus cupiditatis explendæ caussa libentius frequentiusque versatur, nihil plane sceleris est quod moliri non soleat. Nam quod impotenti admodum, ac subdolo ingenio sit, quodque melioris ac divinioris dæmonis providentia careat, vehementes ac repentinos ut plurimum impetus habet insidiisque persimiles, partim ut facilius lateat, partim ut vi quod sibi propositum est extorqueat.

5 Et paucis interjectis:

Atque his, inquit, aliisque similibus machinandis hoc sequuntur, uti c. 40.
nos a recta sanaque de diis opinione dimotos ad sese traducant. Nam cum istis omnibus, in quibus nihil cohærentis et consentanei sit, præcipue delectentur, tum vero quasi aliorum deorum induti personam, vecordia

ΠΟΡΦΥΡΙΟΥ

ουσι, προσεταιριζόμενοι τὰ πλήθη, διὰ τοῦ τὰς ἐπιθυμίας
τῶν ἀνθρώπων ἐκκαίειν ἔρωσι καὶ πόθοις πλούτων καὶ δυνα-
στειῶν καὶ ἡδονῶν, κενοδοξίας τε αὖ, ἐξ ὧν στάσεις καὶ πό-
6 λεμοι φύονται, καὶ τὰ συγγενῆ τούτων. Τὸ δὲ πάντων
δεινότατον, ἐπαναβαίνουσιν ἐκ τῶνδε, καὶ τὰ ὅμοια ἀναπεί- c
θουσι καὶ περὶ τῶν μεγίστων θεῶν, μέχρι τοῦ καὶ τὸν ἄρι-
στον θεὸν τούτοις τοῖς ἐγκλήμασιν ὑπάγειν· ᾧ δὴ καὶ τετα-
ράχθαι φασὶ πάντ' ἄνω κάτω. Πεπόνθασι δὲ τοῦτο οὐκ
ἰδιῶται μόνον, ἀλλὰ καὶ τῶν ἐν φιλοσοφίᾳ διατριβόντων
7 οὐκ ὀλίγοι. Ἡ δ' αἰτία δι' ἀλλήλων γέγονε. Καὶ γὰρ τῶν
φιλοσοφούντων οἱ μὴ ἀποστάντες τῆς κοινῆς φορᾶς εἰς τὰ
αὐτὰ τοῖς πλήθεσι συνέβησαν· καὶ πάλιν αὖ τὰ πλήθη σύμ-
φωνα ταῖς αὐτῶν δόξαις παρὰ τῶν δοκούντων σοφῶν ἀκούον- d
τα, ἐπερρώσθη φρονεῖν ἐπιμᾶλλον περὶ τῶν θεῶν τὰ τοιαῦτα.
8 Τὸ μὲν γὰρ ποιητικὸν καὶ προσεξέκαυσε τὰς ὑπολήψεις τῶν
ἀνθρώπων τῷ χρῆσθαι φράσει πρὸς ἔκπληξιν καὶ γοητείαν
πεποιημένη, κήλησίν τε ἐμποιῆσαι καὶ πίστιν περὶ τῶν ἀδυ-

b 10. κενοδοξίας] κενοδοξίαις F.G. c. ἀναπείθουσι καὶ περὶ] οὗτοι δὲ καὶ ἀναπ. περὶ B. καὶ om. F.G. 2. τοῦ] ποῦ A.H. om. B.C.D.F.G. 4. φασὶ] φησὶ D.F.G. ἄνω καὶ κάτω] καὶ om. A.B.E.H. Porph. 8. φιλοσοφούντων] φιλοσόφων D. d. ἐπερρώσθη] ἐπερρῶσθαι B.C.D.F.G. 2. ἔτι μᾶλλον] ἐπὶ μᾶλλον E.F.G. Porph. 3. καὶ προσεξέκαυσε] προεξέκαυσε H. 4. χρῆσθαι] χρόνῳ A.H. 5. πρὸς ἔκπληξιν] προσέπλεξεν A.H. πεποιημένη] πεποιημένην A.H. 6. κήλησιν] κίνησιν C. ἐμποιῆσαι] ἐμποιοῦσα A.H.

fruuntur nostra, hocque veluti lenocinio multitudinem illiciunt, dum hominum cupiditates inflammant, partim amoribus, partim divitiarum, imperiorum, voluptatum appetentia, partim denique æstu inanis gloriæ:
6 unde seditiones, bella, atque id genus cætera nasci solent. Quodque omnium longe indignissimum est, gradum ex his porro faciunt, ac similia facile de summis quoque diis persuadent, usque eo, ut deum etiam optimum iisdem criminibus probrisque subjiciant: quo uno præsertim omnia sursum ac deorsum acta confusaque esse aiunt. Enimvero non idiotas modo, sed etiam philosophorum non paucos hic morbus invasit; atque ita
7 quidem, ut sibi mutuo errandi occasionem præberent. Nam ut qui ex philosophis sese minus communi ab æstu subducerent, in eandem cum imperita multitudine sententiam opinionemque descendebant: sic multitudo rursus, cum ex iis qui sapientes habebantur cogitationibus suis consentaneas disputationes audiret, haustum semel de diis errorem magis
c. 41. 8 in dies magisque confirmabat. Siquidem poesis ipsa quoque novis hominum opiniones facibus accendebat, cum dictione ad admirationem præstigiasque comparata, nec ad titillandos modo permulcendosque sensus, verum etiam ad fidem rerum quæ verisimilitudinem prorsus omnem

ΠΟΡΦΥΡΙΟΥ

νατωτάτων δυναμένῃ· δέον ἐμπέδως πεπεῖσθαι, ὅτι οὔτε τὸ ἀγαθὸν βλάπτει ποτὲ, οὔτε τὸ κακὸν ὠφελεῖ. Οὐ γὰρ θερμότητος, ὥς φησι Πλάτων, τὸ ψύχειν, ἀλλὰ τοῦ ἐναντίου· οὐδὲ ψυχρότητος τὸ θερμαίνειν, ἀλλὰ τοῦ ἐναντίου· οὕτως p. 173
9 οὐδὲ τοῦ δικαίου τὸ βλάπτειν. Δικαιότατον δὲ δήπου φύσει πάντων τὸ θεῖον· ἐπεὶ οὐδ' ἂν ἦν θεῖον. Οὐκοῦν ἀποτετμῆσθαι δεῖ ταύτην τὴν δύναμιν καὶ μοῖραν τῶν δαιμόνων τῶν ἀγαθοεργῶν. Ἡ γὰρ βλάπτειν πεφυκυῖά τε καὶ βουλομένη ἐναντία τῇ ἀγαθοεργῷ· τὰ δ' ἐναντία περὶ τ αὐτὸ οὐκ ἄν ποτε γένοιτο.

10 Καὶ αὖθις,

Διὰ μέντοι τῶν ἐναντίων καὶ ἡ πᾶσα γοητεία ἐπιτελεῖται· τούτους γὰρ μάλιστα καὶ τὸν προεστῶτα αὐτῶν ἐκτιμῶσιν
11 οἱ τὰ κακὰ διὰ τῶν γοητειῶν διαπραττόμενοι. Πλήρεις γάρ b
εἰσι πάσης φαντασίας, καὶ ἀπατῆσαι ἱκανοὶ διὰ τῆς τερατουργίας. Διὰ τούτων φίλτρα καὶ ἐρωτικὰ κατασκευάζουσιν

d 7. πεποιημένην] δύναμιν ἢ δέον A. δύναμιν ἦν H. δυναμένην S. Hinc reddidi δυναμένῃ ex Porph. 8. ὅτι οὔτε] ὡς οὔτε A. 10. Πλάτων] ὁ Πλ. A. ὁ παῦλος H. 11. τοῦ ἐναντίου] τοὐναντίου B. οὐδὲ—ἐναντίου om. A.H.

p. 173. 1. τοῦ δικαίου] τοῦ om. B.C.F.G. 2. δήπου] δὲ δήπου B.C.F.G. Porph. 5. τῶν ἀγ. δαι.] τῶν δαι. τῶν ἀγ. A.H. Porph. 8. τὸ αὐτὸ] τοῦ αὐτοῦ C.F.G. 10. ἐπιτελεῖται] τελεῖται F. b. πλήρεις] πλήρης A.H. qui mox om. εἰσι. 2. ἀπατῆσαι] ἀπατῆς αἱ A. ἀπατῆσαν F. 3. διὰ τούτων] καὶ διὰ τοῦτο A. διὰ τοῦτο E. καὶ addit H.

excluderent faciendam potentissima uteretur. Sed verum profecto erat, hoc sibi constanter in animum inducere, nec a bono detrimenti, nec a malo adjumenti quicquam proficisci posse. Ut enim, quod ait Plato, nec frigefacere caloris est, sed contrarii; nec frigoris calefacere, sed
9 contrarii; sic neque nocere, justi esse potest: deus autem certe natura sua res omnes æquitate ac justitia superat, alioqui ne deus quidem esset. Quare vim istam, atque has nocendi partes a benignis ac beneficis dæmonibus removere omnino decet. Quod enim ad nocendum tam a natura, quam a voluntate comparatum sit, id cum benefico pugnare necesse est: contrariis autem pugnantibusque rebus nulla esse potest circa unum idemque consensio.

10 Et rursus. c. 41.

Infestorum, inquit, dæmonum artibus genus omne præstigiarum efficitur: illosque propterea, illorumque principem malefici homines maxime
11 venerantur. Quippe abundant enim isti vanis fictisque rerum imaginibus, c. 42.
eoque ad concinnandas insolentibus machinis fallacias aptissimi sunt. Horum igitur opera, amatorias illecebras nefarii dæmones moliuntur:

ΠΟΡΦΥΡΙΟΥ

οἱ κακοδαίμονες· πᾶσα γὰρ ἀκολασία καὶ πλούτων ἐλπὶς καὶ
12 δόξης διὰ τούτων, καὶ μάλιστα ἡ ἀπάτη. Τὸ γὰρ ψεῦδος τούτοις οἰκεῖον· βούλονται γὰρ εἶναι θεοί, καὶ ἡ προεστῶσα αὐτῶν δύναμις δοκεῖν θεὸς εἶναι ὁ μέγιστος. Οὗτοι οἱ χαίροντες "λοιβῇ τε κνίσῃ τε," δι' ὧν αὐτῶν τὸ πνευματικὸν καὶ σωματικὸν πιαίνεται. Ζῇ γὰρ τοῦτο ἀτμοῖς καὶ ἀναθυμιά- c σεσι, ποικίλως διὰ τῶν ποικίλων, καὶ δυναμοῦται ταῖς ἐκ τῶν αἱμάτων καὶ σαρκῶν θυσίαις.

13 Διὰ δὴ τούτων ἀκηκόαμεν ὁμολογούντων, ὅτι μὴ μόνον οἱ παρ' Ἕλλησι ποιηταὶ προσεξέκαυσαν τὰς ὑπολήψεις τῶν ἀνθρώπων τὰς περὶ τῶν φαύλων δαιμόνων ὡς περὶ θεῶν καὶ ἀγαθῶν, ἀλλὰ καὶ τῶν ἐν φιλοσοφίᾳ διατριβόντων οἱ περὶ θεοὺς δοκοῦντες σπουδαίως ἔχειν, οἳ καὶ αὐτοὶ οὐ θεοὺς ἀλλὰ πονηροὺς δαίμονας περιέ- d πoντες τὰ πλήθη καὶ τοὺς δήμους εἰς τὴν οἰκείαν πλά-
14 νην ἐξετραχήλισαν. Ὡμολόγησε γοῦν σαφῶς ὁ λόγος, ὡς ἄρα παρὰ τῶν δοκούντων σοφῶν ἀκούοντα περὶ θεῶν

b 5 καὶ πλούτων] πλούτων τε B.D.G. καὶ om. C. πλούτου γε F. 9. θεὸς] θεῶν B.C.F.G. 10. τε] τε καὶ C.F.G. Tum κνίσῃ A. pro κνίσσῃ. λοιβῆς τε κνίσσης τε H. c. τοῦτο] τούτοις τοῖς A.H. 4. γὰρ δὴ] γὰρ om. B.C. Viger. 6. προσεξέκαυσαν] προεξέκαυσαν H. 8. καὶ τῶν] καὶ περὶ τῶν C. d 3. οἰκείαν] ὁμοίαν A.H. ὡμολόγησε γοῦν] ὡμολόγησεν οὖν A.H.

a quibus scilicet cum impotentia voluptatum, spesque divitiarum et gloriæ
12 proficiscitur, tum in primis doli fraudisque omnis artificium. Horum enim proprium mendacium est, cum et omnes dii esse velint, et princeps eorum virtus summi numinis existimationem affectet. Illi enimvero sunt, qui et libationibus et nidore carnium delectantur, quo utroque spirituum corporumque genus saginatur. Vitam enim ut vaporibus exhalationibusque sustentat, idque modo pro eorum diversitate diverso, ita vires sanguinis carniumque nidore confirmat.

13 Sic igitur istos ingenue confitentes audivimus, præceptas hominum de improbis dæmonibus, perinde ac si dii bonique forent, opiniones vehementius non a Græcis modo poetis accensas fuisse, verum etiam ab iis, qui philosophiæ studia professi, æquiore ac propensiore erga deos animo viderentur, utpote qui non diis ipsi quoque, sed improbis dæmonibus colendis, præcipitem in errorem suum multitudinem
14 egerint. Enimvero disertis verbis Porphyrius fatetur, illam cum ex iis, qui sapientes habebantur, cogitationibus suis consentaneas

τὰ πλήθη σύμφωνα ταῖς αὐτῶν δόξαις ἐπερρώσθη φρονεῖν ἐπιμᾶλλον, ὡς περὶ θεῶν, περὶ τῶν μοχθηρῶν δαιμόνων. Καὶ ταῦτα οὐκ ἐξ ἡμῶν κατηγορεῖται, ἀλλ' ὑπ' αὐτῶν τῶν ἀκριβέστατα τὰ οἰκεῖα μᾶλλον ἢ ἡμεῖς
[104]
15 εἰδότων. Ὁ γέ τοι αὐτὸς συγγραφεὺς οὐ παρέργως ὁμιλήσας τῇ τοὺς πολλοὺς λανθανούσῃ δεισιδαιμονίᾳ φησὶ τοὺς πονηροὺς δαίμονας βούλεσθαι εἶναι θεούς, καὶ ἀγαθῶν δόξαν ἔχειν παρὰ ἀνθρώποις, [ἥ τε προεστῶσα αὐτῶν δύναμις δοκεῖν θεὸς εἶναι ὁ μέγιστος.]

16 Τίς οὖν ἄρα ἡ προεστῶσα αὐτῶν τυγχάνει δύναμις p. 174
ὁ αὐτὸς πάλιν διασαφήσει, τοὺς ἄρχοντας τῶν πονηρῶν δαιμόνων λέγων εἶναι τὸν Σάραπιν καὶ τὴν Ἑκάτην· ἡ δὲ θεία γραφή, τὸν Βελζεβούλ. Ἄκουε δ' ὅπως καὶ περὶ τούτου γράφει ἐν τοῖς Περὶ τῆς ἐκ λογίων φιλοσοφίας.

b

23 Τοὺς δὲ πονηροὺς δαίμονας οὐκ εἰκῇ ὑπὸ τὸν Σάραπιν ΠΟΡΦΥΡΙΟΥ

d 6. ἐπερρώσθη] ἐπερρῶσθαι B.C.D.F.G. Supra δόξεσι D. 7. ἔτι μᾶλλον] ἐπὶ μᾶλλον E.F.G. 8. κατηγορεῖται] κατηγόρηται B.C.D.E.F.G. 10. εἰδότων] ἰδόντων A. 11. παρέργως] παρέργω B. 14. ἀνθρώποις] ἀνθρώπων H. ἥ τε] τίς τε ἡ A.H. qui pergunt προεστῶσα αὐτῶν δύναμις τυγχάνει ὁ αὐτὸς πάλιν. 15. δοκεῖν] δοκεῖ D.F.G. usque ad μέγιστος om. E.
p. 174. 3. λέγων εἶναι] εἶναι λέγων C.F.G. 6. τούτου] τούτων B.F.G. b 5. τοὺς δὴ] τοὺς δὲ A.C.H. Mox δαίμονας om. A.H.

disputationes audiret, in sua de nefariis dæmonibus sic tanquam de diis opinione magis in dies magisque confirmatam esse. Atque hæc non auctoritate sane testimonioque nostrorum arguuntur, sed ipsorum qui res suas penitus, ac longe quam nos certius enucleatiusque perviderant.
15 Siquidem ille ipse scriptor, qui non perfunctorie ac leviter fuerat in ea quæ vulgus latebat superstitione versatus, improbos dæmones asserit deos esse velle, bonorumque apud homines existimationem expetere; ac virtutem eorum principem summi numinis famam et nomen ambire.

16 Quænam porro sit virtus illa princeps, idem ipse declarat, improborum dæmonum principes Serapin atque Hecaten esse dicens, cum Beelzebud iis omnibus præesse scriptura divina testetur. Audi vero præterea, quemadmodum hac de re in suis De hausta ex oraculis Philosophia libris disserat.

23 Improbos dæmones, inquit, Sarapi subditos esse haud temere suspica-

ΠΟΡΦΥΡΙΟΥ

ὑποπτεύομεν, οὐδ' ἐκ τῶν συμβόλων μόνων ἀναπεισθέντες, ἀλλ' ὅτι τὰ μειλίγματα καὶ τὰ τούτων ἀποτρόπαια πρὸς τὸν Πλούτωνα γίνεται, ὡς ἐν τῷ πρώτῳ ἐδείκνυμεν. Ὁ c
αὐτὸς δὲ τῷ Πλούτωνι ὁ θεὸς, καὶ διὰ τοῦτο μάλιστα δαιμόνων ἄρχων, καὶ σύμβολα διδοὺς πρὸς τὴν τούτων ἔλασιν.

2 Οὗτος γοῦν καὶ τοῖς ἱκέταις ἐδήλωσεν, ὡς πᾶσι ζώοις ὁμοιούμενοι προσίασι τοῖς ἀνθρώποις· ὅθεν καὶ παρ' Αἰγυπτίοις καὶ παρὰ Φοίνιξι καὶ ὅλως παρὰ τοῖς τὰ θεῖα σοφοῖς ἱμάντες ἐν τοῖς ἱεροῖς ἐπιρρήσσονται, καὶ ζῶα προσουδίζεται πρὸ τῆς θρησκείας τῶν θεῶν· ἐξελαυνόντων τῶν ἱερέων τούτους διὰ τοῦ δοῦναι πνεῦμα, ἢ αἷμα ζώων, καὶ διὰ τῆς τοῦ ἀέρος d
πληγῆς· ἵνα τούτων ἀπελθόντων παρούσια τοῦ θεοῦ γένηται.

3 Καὶ οἶκος δὲ πᾶς μεστὸς, καὶ διὰ τοῦτο προκαθαίρουσι καὶ ἐκβάλλουσι τούτους, ὅταν θεὸν κατακαλῶσι. Καὶ τὰ σώματα τοίνυν μεστὰ ἀπὸ τούτων· καὶ γὰρ μάλιστα ταῖς ποιαῖς τροφαῖς χαίρουσι. Σιτουμένων γὰρ ἡμῶν προσίασι

b 7. οὐδ' ἐκ τῶν] ἐκ δὲ τῶν B.C.F.G. μόνον] μόνων B.C.D. om. H. 8. τὰ μειλ.] τὰ om. H. καὶ τὰ] κατὰ A.H. c 4. ἔλασιν] ἔλευσιν C.D.G. εὕρεσιν F. γοῦν] οὖν C.F.G. 5. ἱκέταις] οἰκέταις F.G. 7. παρὰ Φοί.] παρὰ om. B.C.F.G. 8. ἢ μάντεσι] ἱμάντες B.C.D.F.G. Vigeri margo. ἱμάντους E. 9. ἐν τοῖς] ἐν om. A.H. qui ἐπιρρήσεται pro ἐπιρρήσσονται. καὶ ζῶα—ἀποστῶσι om. B. προσουδίζεται πρὸ] προσουδίζοντα πρὸς D. προσουδίζονται πρὸς F.G. 11. τούτους] τοὺς A.H. d 4. τοῦτο] τοῦ C. 6. μεστὰ] μετὰ H. 7. καὶ γὰρ] γὰρ om. C.E.F.G. τροφαῖς] τροφαῖς αἷς D.F.G.

mur: quippe hanc ad opinionem non ejus tantum symbolis et insignibus adducti, sed etiam quod quæcunque vim eos vel conciliandi habent vel averruncandi, ad Plutonem omnia referuntur, quemadmodum libro primo ostendimus. Atqui idem prorsus qui Pluto deus iste est, eoque maxime dæmonibus imperat, certaque symbola tribuit, quibus averti depellique
2 possint. Ac suis quidem supplicibus aperuit, quo pacto animantium illi formam ac speciem mentiti homines convenirent: quo factum ut ab Ægyptiis ac Phœnicibus, et universe ab omnibus religionum peritis, et lora in templis disrumpi, et animantes ad pavimentum, antequam deorum sacris operentur, allidi soleant: itaque dæmones a sacerdotibus partim spiritu, partim animalium sanguine, partim aëris ipsius percussione
3 abiguntur, ut iis ejectis præsens deus interesse velit. Plenæ siquidem eorum sunt ædes universæ, quas ante propterea ipsis ejiciendis expiant, quoties diis supplicaturi sunt. Quinetiam eorundem plena sunt corpora, quod certo quodam ciborum genere præcipue delectentur. Itaque accumbentibus nobis non accedunt ipsi modo, sed etiam nostrum ad corpus adhærescunt; quæ caussa est quamobrem

καὶ προσιζάνουσι τῷ σώματι, καὶ διὰ τοῦτο αἱ ἁγνεῖαι, οὐ ΠΟΡΦΥΡΙΟΥ
διὰ τοὺς θεοὺς προηγουμένως, ἀλλ' ἵν' οὗτοι ἀποστῶσι.
Μάλιστα δὲ αἵματι χαίρουσι καὶ ταῖς ἀκαθαρσίαις, καὶ ἀπο-
4 λαύουσι τούτων εἰσδύνοντες τοῖς χρωμένοις. Ὅλως γὰρ ἡ
ἐπίτασις τῆς πρός τι ἐπιθυμίας, καὶ ἡ τοῦ πνεύματος τῆς
ὀρέξεως ὁρμὴ ἀλλαχόθεν οὐ σφοδρύνεται ἢ ἐκ τῆς τούτων p. 175
παρουσίας· οἳ καὶ εἰς ἀσήμους φθόγγους καὶ φύσας ἀναγκά-
ζουσι τοὺς ἀνθρώπους ἐμπίπτειν διὰ τῆς συναπολαύσεως τῆς
5 μετ' αὐτῶν γιγνομένης. Ὅπου γὰρ πνεύματος πλείονος
ὁλκὴ, ἢ τῆς γαστρὸς ἐξ ἡδυπαθείας πεπλησμένης, ἢ τῆς προ-
θυμίας δι' ἡδονῆς ἐπίτασιν ἐκφυσώσης καὶ πολὺ τὸ ἔξωθεν
σπώσης, ἐκεῖ παρουσία τῶν τοιούτων πνευμάτων σοι δηλού-
σθω. Ἄχρι τούτων τολμᾷ φύσις ἀνθρώπου εὑρίσκειν τὰς
περὶ αὐτῆς συνεστώσας παγίδας· καὶ γὰρ ὁ θεὸς ὅταν εἰσ- b
κριθῇ, πολυπλασιάζεται τὸ πνεῦμα.

6 Ταῦτα μὲν οὖν περὶ τῶν πονηρῶν δαιμόνων, ὧν φη-

9. προσιζάνουσι] προσικανοῦσι A.H. προσιζαίουσι F. Tum τὰ σώματα C.D.F.G. 12. αἵματι] αἵμασι B.C.F.G. 13. ἀπολαύουσι] ἀπολαύσεσι D. 14. ἐπίτασις] ἐπίστασις A.H. et sic infr.

p. 175. 2. ἢ ἐκ—οἳ om. B. qui mox ἀλλὰ καί. 5. αὐτῶν] αὐτοὺς C.F. Tum γιγν. A. 7. πεπλησμένης] πεπληρωμένης A.H. πεπρημένης B. πεπρήκης C.F.G. Tum καὶ τῆς F. 8. ἐκφυσώσης] ἐκ φύσεως ἧς A.H. 10. δηλούσθω] δηλούσθαι D. 11. ἀνθρώπου] ἀνθρώπων A.H. om. F. Mox ἴσ. αὐτὴν Vigeri margo. b. ὁ θεὸς] ὁ om. B.C.F.G. 3. ὧν] ὃν F.

lustrationes adhiberi consueverint, non utique propter deos potissimum,
sed potius ut dæmones recedere atque alio migrare cogantur. Cæterum
sanguine præsertim sordibusque capiuntur, quibus ut frui liceat, in eorum
4 qui rebus istis utuntur sese corpus insinuant. Nullus enim omnino motus
existit cupiditatis vehementior, nullus in spiritu appetitionis impetus, qui
aliunde quam ex eorum præsentia incitetur. Itaque homines ab iis in
obscuros aliquando sonos flatusque coguntur incidere, quod eadem ipsi
5 quoque delectatione perfruantur. Ubi enim abundat spiritus, sive quod
eo venter ob acriorem delectationis sensum impleatur, sive quod ardor
ipse atque æstus propter voluptatis vehementiam efflet simul interiorem,
simulque exteriorem densius copiosiusque ducat; ibi continuo spiritus
illos præsentes esse judicare certo possis. Atque hactenus humanæ naturæ laqueos in se necti solitos investigare fas est: tum enim vel maxime augeri spiritus ipse consuevit, cum in deum curiosius ac propius inquiritur.

6 Hæc ille de improbis dæmonibus, quorum principem Sarapin esse

σιν ἄρχοντα εἶναι τὸν Σάραπιν. Καὶ τὴν Ἑκάτην δὲ τούτων ἄρχειν ὁ αὐτὸς διδάσκει, λέγων οὕτως·

ΠΟΡΦΥΡΙΟΥ

Μήποτε οὗτοί εἰσιν ὧν ἄρχει ὁ Σάραπις, καὶ τούτων σύμβολον ὁ τρικάρανος κύων, τουτέστιν ὁ ἐν τοῖς τρισὶ στοιχείοις, ὕδατι, γῇ, ἀέρι, πονηρὸς δαίμων· οὓς καταπαύει ὁ θεὸς, ὁ ἔχων ὑπὸ χεῖρα. Ἄρχει δ' αὐτῶν καὶ ἡ Ἑκάτη, ὡς συνέχουσα τὸ τρίστοιχον.

Καὶ πάλιν φησίν, c

7 Ἓν χρηστήριον ἔτι παραθεὶς, ὅπερ αὐτὴ ἡ Ἑκάτη πεποίηται, καταπαύσω τὸν περὶ ταύτης λόγον·

Ἤδ' ἐγὼ εἰμι κόρη πολυφάσματος, οὐρανόφοιτος,
ταυρῶπις, τρικάρηνος, ἀπηνὴς, χρυσοβέλεμνος,
Φοίβη ἀπειροτεχνὴς, φαεσίμβροτος Εἰλείθυια,
[105] τριστοίχου φύσεως συνθήματα τρισσὰ φέρουσα·
αἰθέρι μὲν, πυρόεσσιν ἐειδομένη εἰδώλοις, d

b 5. δὲ τούτων—διδάσκει om. B.C.F.G. 7. ὁ Σαρ.] ὁ om. B.F.G. Mox διὰ om. B.C.D.F.G. ante τούτων. Vigerus in marg. γρ. τοῦτο αὐτῶν. διὰ τοῦτο H. τρικάρηνος] τρίκρανος A.H. τρικάρανος E. ἡ pro ὁ G. 10. καταπαύσει] καταπαύειν C. Mox ὁ om. B.C.D.F.G. c. πάλιν] αὖ B.C.D.F.G. ἓν χρ. ἔ. π.] ἔ. π. ἓν χ. A.B.C.F.G.H. 2. ἡ ἑκάτη] τῇ ἑκάτῃ A. 3. καταπαύσει] καταπαύσω A.B.C.H. Viger. 4. οὐρανόφοιτος om. C. 8. ἀπειροτέχνης] Inter alia ἀπειρολεχὴς Vigerus. Vid. Lobeck. Aglaoph. p. 225. 10. τριστοίχου φύσεως] τριστοι[χ] φύσει B. d. ἐειδομένη] εἰδομένη A. Tum εἰδώλοισιν H.

ait; sic tamen ut iisdem Hecaten etiam imperare doceat, hunc in modum.

Num forte, inquit, dæmones ii sunt, in quos Sarapis obtinet principatum, quorum propterea symbolum sit triceps ille canis, hoc est improbus dæmon, qui tribus in elementis, aqua, terra, et aëre versatur? quos utique deus ille, cujus in potestate sunt, sistit et cohibet. Cæterum iisdem etiam imperat Hecate, cujus videlicet numine triplex istud elementum continetur.

7 Ac rursus.

Institutæ, inquit, de Hecate disputationi finem imponam, si modo unum hoc præterea ejusdem responsum addidero.

Illa ego cœlestis varia sub imagine virgo,
Taurina, atque triceps, immitis, et aurea vibrans
Spicula, natorumque expers Diana, simulque
Fax Lucina hominum; cujus tria symbola, mundi
Terna elementa notant: ardentibus æthera formis

ἠέρα δ' ἀργεννοῖσι τροχάσμασιν ἀμφικάθημαι·
γαῖα δ' ἐμῶν σκυλάκων δνοφερὸν γένος ἡνιοχεύει. ΠΟΡΦΥΡΙΟΥ

8 Οἷς ἐπιλέγει ὁ συγγραφεὺς σαφῶς, τίνες οἱ σκύλακες· ὅτι οἱ πονηροὶ δαίμονες, περὶ ὧν ἄρτι πεπαύμεθα λέγοντες. Τοσαῦτα μὲν δὴ καὶ ταῦτα. Περὶ δὲ τοῦ δαίμονας εἶναι πονηροὺς ἀληθῶς, ἀλλ' οὐδὲν ἀγαθὸν ἐπαγομένους, τοὺς παρὰ τοῖς πολλοῖς θεολογουμένους, φέρε ἔτι μᾶλλον διὰ πλειόνων κρατύνωμεν.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΠΡΟΟΙΜΙΟΝ.

p. 178 b

1 Ἱκανὰ μὲν καὶ τὰ προπαρατεθέντα συστῆσαι ἦν, ὅτι μὴ θεοί, μηδ' ἀγαθοὶ δαίμονες, πᾶν δὲ τοὐναντίον ὑπῆρχον οἱ παρὰ τοῖς ἔθνεσι κατά τε πόλεις καὶ χώρας ὡς θεοὶ τετιμημένοι· οὐ λυπεῖ δὲ ἐκ περιουσίας τὴν αὐτὴν

d 5. δ' ἐμῶν] δαίμων A.H. qui mox ἡνιοχεύων. δνοφερὸν Vigerus pro δνοφερῶν. qui supra in marg. ἴσ. γαῖαν ἐμ. 9. λέγοντες] λέγειν C.D.F.G. μὲν δὴ καὶ] μὲν δὴ περὶ τοῦ δαίμονας B.F.G. καὶ om. D. 10. τοὺς] τοῦ A.C.H. περὶ τοῦ D. 12. τοῖς πολλοῖς] τοὺς πολλοὺς F.G. τέλος δ^{ου} τόμου C.G.

p. 178. b 4. προπαρατεθέντα] παρατ. B.C.F.G. προστεθέντα D. 5. μὴ θεοί] μηθὲν C.D.F.G. om. B. μὴ θεὸς H. 7. τοὐναντίου F.

Exhibeo: passim candentibus aëra bigis
Insideo: terrasque regit tenebrosa meorum
Turba canum.

8 Hos autem canes improbos illos esse dæmones idem auctor manifeste declarat, de quibus, inquit, dicere paulo ante desiimus. Nos autem hic etiam gradu fixo, pluribus age deinceps, quotquot a plerisque omnibus deorum loco et nomine colebantur, nefarios vere dæmones, ac nullius plane boni auctores esse confirmemus.

LIBER QUINTUS.

PROŒMIUM.

1 Quanquam ea quæ adhuc a nobis disputata sunt, non jam aut deorum aut bonorum in dæmonum loco habendos illos esse omnes satis superque conficiunt, qui a gentilibus per urbes passim atque pagos tanquam dii colebantur: juvat tamen ultro plurium insuper

ὑπόθεσιν ἔτι μᾶλλον βεβαιώσασθαι πλείοσι καὶ δαψι- c
λεστέροις ἐλέγχοις τῆς τούτων ἀποδείξεως τὴν διὰ τῆς
τοῦ Σωτῆρος ἡμῶν εὐαγγελικῆς διδασκαλίας προξενη-
θεῖσαν ἅπασιν ἀνθρώποις ἐλευθερίαν τῶν πάλαι κακῶν
2 ἐκφαινούσης. Ἄκουε τοιγαροῦν αὐτῶν Ἑλλήνων ὁμο-
λογούντων ἐκλελοιπέναι αὐτῶν τὰ χρηστήρια, οὐδ᾽ ἄλ-
λοτέ ποτε ἐξ αἰῶνος ἢ μετὰ τοὺς χρόνους τῆς σωτηρίου
καὶ εὐαγγελικῆς διδασκαλίας τὴν ἑνὸς τοῦ παμβασιλέως d
καὶ δημιουργοῦ τῶν ὅλων Θεοῦ γνῶσιν φωτὸς δίκην πᾶ-
3 σιν ἀνθρώποις ἀνατειλάσης. Αὐτίκα γοῦν μάλα ὅσον
οὐδέπω παραστήσομεν, ὡς ἄρα μετὰ τὴν ἐπιφάνειαν
αὐτοῦ καὶ θάνατοι τῶν δαιμόνων ἱστορήθησαν, καὶ τὰ
θαυμαστὰ καὶ πάλαι βοώμενα χρηστήρια διαλελοίπασιν.
4 Ἤδη δὲ καὶ πρότερον ἀποδέδεικται, ὅτι δὴ παῦλαν κα-

b 11. ἔτι μᾶλλον] ἔτι om. B.C.F.G. c 2. τὴν διὰ τῆς] τὴν et τῆς om. B. τῆς om. C.F.G. 6. ἄκουε τοιγαροῦν αὐτῶν Ἑλλήνων ὁμολογούντων ἐκλελοιπέναι] τοιγαροῦν Ἕλληνες ὁμολογοῦσιν ἐκλ. B.C.F.G. 7. οὐδ᾽] οὐκ B.C.D.F.G. 8. ποτε om. C.F.G. qui mox om. κατὰ τ. χ. τ. σ. καὶ cum B. κατὰ] μετὰ A.H. vid. p. 179. b 2. d 2. 9. εὐαγγ.] τῆς εὐαγγ. B.C.F. d. τὴν] τοῦ B.C.F.G. ἑνὸς θεοῦ καὶ σωτῆρος χριστοῦ πλατυνθείσης ἐν γῇ] ἑνὸς τοῦ παμβασιλέως καὶ δημιουργοῦ τῶν ὅλων θεοῦ γνῶσιν φωτὸς δίκην A.H. τοῦ παμβασιλέως καὶ δημιουργοῦ τῶν ὅλων θεοῦ γνώσεως E. 3. γοῦν μάλα ὅσον οὐδέπω] γοῦν ὅσον οὔπω B.C.F.G. 4. ἄρα] γὰρ A.H. 6. θαυμαστὰ καὶ om. B.C.F.G. 7. διαλελοίπασιν] διαλέλοιπεν B.C.F.G.

argumentorum vim ac pondus adjungere, quibus susceptæ quæstionis
ea magis magisque demonstratio confirmetur, quæ Servatoris nostri
evangelicæ doctrinæ beneficio allatam hominum generi a superiori-
2 bus malis liberationem in omnium oculis constituat. Audi ergo
deinceps, quemadmodum scriptores ipsi Græci, oracula sua ex omni
memoria tum denique primum defecisse fateantur, cum salutaris hæc
et evangelica unius Dei ac Servatoris nostri doctrina, ac summi nu-
minis ejusdemque rerum universarum domini pariter ac molitoris
3 cognitio, hominum animis cœpit solis instar illucescere. Et quidem,
statim post ejus adventum et dæmonum interitus celebratos esse, et
egregia illa totque pridem jactata sæculis oracula conticuisse, jam-
4 jam ostendemus. Sed quoniam demonstratum jam a nobis est, post

κῶν οὐδ᾽ ἄλλοτέ πω πρότερον ἢ μετὰ τὴν εὐαγγελικὴν
διδασκαλίαν εἰλήφασιν αἱ παρὰ πᾶσι τοῖς ἔθνεσιν ὠμῶς
καὶ ἀνηλεῶς ἐπιτελούμεναι τοπρὶν ἀνθρωποθυσίαι· οἷς
ἐπὶ τοῦ παρόντος προσθεῖναι καλὸν, ὅτι μὴ μόνον ἐξ
ἐκείνου τὰ τῆς δαιμονικῆς ἀπέσβη δεισιδαιμονίας, ἀλλὰ
5 καὶ τὰ τῆς τῶν ἐθνῶν πολυαρχίας. Σχεδὸν γὰρ κατὰ
πᾶσαν πόλιν καὶ κώμην βασιλεῖς καὶ τυράννους το-
πάρχας τε καὶ δυνάστας τοπαλαιὸν ἦν ὁρᾶν, ἐθναρ- p. 179
χίας τε καὶ πολυαρχίας, δι᾽ ἃς ἐπὶ τοὺς κατ᾽ ἀλλήλων
πολέμους συνεχῶς ὁρμῶντες, δηώσεις τε χωρῶν καὶ
πόλεων πολιορκίας ἀνδραποδισμούς τε καὶ αἰχμαλωσίας
[107] τῶν πλησιοχώρων ἀεὶ καὶ διαπαντὸς ἐνήργουν, πρὸς τῶν
οἰκείων δαιμόνων ἐπὶ τὸν κατ᾽ ἀλλήλων πόλεμον ἐξοι-
6 στρούμενοι. Ὧν οὕτως ἐχόντων, ἐν ὁποίᾳ τότε συγχύ-

9. ἄλλοτέ πω πρότερον] ἄλλοτέ ποτε B.C.F.G. οὐδέ πω πρότερον ἄλλοτε H. 11. ὠμῶς καὶ om. B.C.F.G. 12. τὸ πρὶν ἀνθρωποθυσίαι] τῶν ἀνθρώπων θυσίαι B.C.F.G. 15. δεισιδαιμονίας] θυσίας B.C.D.F.G. τῶν ἐθ.] τῶν om. B.C.F.G. 16. πᾶσαν πόλιν] πόλιν πᾶσαν B.C.F.G. καὶ τυράννους τοπάρχας τε καὶ δυνάστας τοπαλαιὸν] τε καὶ τυράννους καὶ τοπάρχας πάλαι B.C.D.F.G.

p. 179. 2. δι᾽ ἃς] διὰ τοὺς B.C.D.F.G. qui om. ἐπὶ τοὺς et πολέμους. 3. ὁρμῶντες] ἐφορμῶντας B.C.D.F.G. δηώσεις] δηώσεις τε B.C.D.F.G. 5. ἀεὶ καὶ διαπαντὸς ἐνήργουν om. B.C.F.G. qui mox om. ἐπὶ τὸν et πόλεμον. ἀεί τε καὶ δ. H. 6. τῶν ἀνθρώπων προσ. D. 8. τότε om. F.

evangelicæ doctrinæ propagationem, tum demum nefariam illam et omni crudelitate teterrimam, quæ apud omnes olim populos gentesque regnabat, immolandorum hominum consuetudinem penitus abrogatam esse; abs re non fuerit, quemadmodum ab illo tempore, non diabolicæ modo superstitionis ritus, sed etiam distracti quondam ac multiplices gentium principatus extincti sublatique sint, hoc loco

Animorum dissidia per evangelicam doctrinam sublata.

5 subjungere. Nam in oppidis antea pagisque fere singulis reges, tyranni, toparchæ, ac dynastæ, adeoque, gentium varii ac distincti dominatus vulgo cernebantur, quorum ambitione cum homines mutuis sese bellis perpetuisque vexarent, tum regiones etiam urbesque diriperent, atque assidue vicinos circum populos in servitutem abducerent, familiarium utique et intestinorum dæmonum stimulis in
6 ejusmodi pugnas et dimicationes concitati. Quæ cum ita se habe-

σει κακῶν συμφορῶν τε ἐπαλλήλων ὁ πᾶς ἐνίσχητο
7 βίος, καὶ αὐτῷ σοι παραλείπω σκοπεῖν. Τούτων δὴ
οὖν ἀθρόως ἁπάντων ὁμοῦ σὺν τῇ πολυθέῳ πλάνῃ ἐκ- b
ποδὼν μεταστάντων οὐκ ἄλλοτε ἢ μετὰ τὴν τοῦ Σωτῆ-
ρος ἡμῶν εἰς ἀνθρώπους ἐπιδημίαν, πῶς οὐ χρὴ τὸ
μέγα μυστήριον τῆς ἀληθῶς σωτηρίου καὶ εὐαγγελικῆς
ἀποδείξεως ὑπερθαυμάζειν, δι' ἧς ἀθρόως κατὰ πᾶσαν
τὴν τῶν ἀνθρώπων οἰκουμένην προσευκτήρια καὶ ναοὶ
τῷ παμβασιλεῖ καὶ δημιουργῷ τῶν ἁπάντων καὶ μόνῳ
Θεῷ ἔν τε πόλεσι καὶ κώμαις βαρβάρων τε ἐθνῶν ἐν
ἐρημίαις ἀφιερωμένα συνέστη, βίβλοι τε καὶ ἀναγνώ- c
σματα, μαθήματά τε παντοῖα καὶ διδασκαλίαι, περὶ τῆς
εἰς ἄκρον ἀρετῆς καὶ τρόπου τοῦ κατὰ τὴν ἀληθῆ θεο-
σέβειαν παραγγέλματα περιέχουσαι, ἀνδράσιν ὁμοῦ καὶ

a 9. συμφορῶν—παραλείπω] συμφορῶν ὁ τῶν ἀνθρώπων ἐνίσχητο βίος, σοι καταλείπω B. καὶ συμφ. ὁ τῶν ἀνθ. ἐνίσχοιτο βίος, σοι καταλείπω C.F.G. καταλείπω D.H.V. Tum σκοπεῖν—ἦσαν πονηροὶ p. 180. c. om. B. 11. τούτων οὖν ἀθρόον ὁμοῦ F.G. δὴ om. D. qui mox ἀθρόων. b 2. οὐκ ἄλλοτε ἢ om. C.F.G. 3. εἰς] πρὸς D.F.G. 6. ἀθρόως om. C.D.F.G. 7. οἰκουμένην τῶν ἀνθρώπων H. προσευκτήρια καὶ ναοὶ] ναοὶ εὐκτήριοι C.D.F.G. Tum καὶ δημιούργῳ καὶ μ. τ. ἁπ. om. C.F.G. 8. καὶ μόνῳ τῶν ἁπ.] τῶν ἁπ. καὶ μόνῳ A.H. 10. τε ἐθνῶν] τε om. C. ἐθνῶν καὶ D.F.G. ἀφιερώμενα] ἀφιερούμενα A.H. om. C.F.G. qui mox om. μαθήματά τε et deinde καὶ διδ. παντοῖαι. c 2. διδασκαλίαι] διδασκαλεῖα A.H.V. 4. τε καὶ] ὁμοῦ καὶ A.E.H.

rent, cujusmodi tandem malorum et confertarum calamitatum perturbatione hominum vita jactaretur, æstimandum tibi ac statuendum
7 relinquo. Eadem vero, cum post nostri demum Servatoris adventum cum illo multiplicium deorum errore uno velut agmine profligata fuerint, quis non jure magnum hoc vere salutaris et evangelicæ demonstrationis mysterium summa cum admiratione suspiciat, per quam et tantam orbe passim universo per urbes, atque pagos, imo barbarorum etiam ac gentium solitudines oratoriorum ac templorum præpotenti rerum omnium regi, architecto, solique Deo dicatorum multitudinem videamus: et librorum, lectionum, doctrinarum, quibus perfectæ cumulatæque virtutis, morumque ad veram pietatem ac religionem conformandorum accommodata non modo

γυναιξὶ καὶ παισὶν εἰς ἐπήκοον παραδέδονται, νεκρὰ δὲ τὰ ἀπὸ δαιμόνων πάντα χρηστήριά τε καὶ μαντεύματα;

8 Οὐδέ τις εἰς τοσοῦτον ἀνθρώπων μέμηνε νῦν, ἐξ οὗπερ εἰς πάντας φωτὸς δίκην ἐξέλαμψεν ἡ τοῦ Σωτῆρος ἡμῶν ἔνθεος καὶ εὐαγγελικὴ δύναμις, ὡς τολμᾶν τῷ τοῦ φιλτάτου φόνῳ καὶ ταῖς δι' ἀνθρωποθυσιῶν σφαγαῖς τὰ φονικὰ καὶ φίλαιμα καὶ μισάνθρωπα δαιμόνια ἐξιλεοῦσθαι, οἷα πράττειν τοῖς πάλαι σοφοῖς τε καὶ βασιλεῦσι d

9 δαιμονῶσιν ὡς ἀληθῶς φίλον ἦν. Περὶ δὲ τοῦ μηκέτι δύνασθαί τι καὶ ἰσχύειν τοὺς φαύλους δαίμονας μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν εἰς ἀνθρώπους πάροδον, καὶ αὐτὸς ὁ καθ' ἡμᾶς τῶν δαιμόνων προήγορος ἐν τῇ καθ' ἡμῶν συσκευῇ τοῦτόν που λέγων μαρτυρεῖ τὸν τρόπον·

10 Νυνὶ δὲ θαυμάζουσιν, εἰ τοσούτων ἐτῶν κατείληφε τὴν πόλιν ἡ νόσος, Ἀσκληπιοῦ μὲν ἐπιδημίας καὶ τῶν ἄλλων

ΠΟΡΦΥΡΙΟΥ

c 5. παραδέδονται] παραδεδόμεναι C.F.G. παραδεδόμενα D. παραδέδοται E. Mox C. om. πάντα. 8. μέμηνε] μέμνημαι C. qui pergit, νῦν μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν διδασκαλίαν, ὡς τολμᾶν et sic F.G. ἐξ οὗ περ] ἐξ ὅτου περ E. 12. μισάνθρωπα] μισ. τε καὶ ἀπάνθρωπα A.H. d. τε καὶ] τε om. A.H. 2. τι καὶ ἰσχύειν] τι κατισχύειν A. μηκέτι ἰσχύειν C.F.G. 4. ἡμᾶς] ὑμᾶς C.F.G. Mox in marg. addit C. Πορφυρίου. 7. τοσούτων] τοσοῦτον A. εἰς τοσοῦτον H. τὴν πόλιν ἡ νόσος] ἡ νόσος τὴν πόλιν A.E.H. καὶ post μὲν addit A. 8. μὲν καὶ ἐπιδ. F.G.

viris, sed etiam mulieribus ac pueris præcepta tradantur, infinitam omnis generis copiam habeamus? Adde emortua penitus dæmonum

8 oracula et vaticinia conticuisse: adde, ex quo divina hæc et evangelica assertoris nostri virtus radiis suis hominum genus omne lucis instar illustravit, eo jam usque amplius furere neminem, ut carissimi cujusque sanguine, hominumque jugulatorum sacrificiis, illos cædis et cruoris avidos, et infestissimos humano generi dæmones placare conetur: qui tamen ritus omnium olim sapientium atque regum,

9 quos dæmonis utique furor agebat, animos occuparat. Et vero pessimorum dæmonum, ex quo hominum societatem Servator noster inierit, vim ac potestatem amplius nullam esse, vel ipsemet Porphyrius, magnus ætatis nostræ dæmonum patronus, in eo quod adversus nos conscripsit volumine his verbis testatum reliquit:

10 Et nunc mirum, inquit, ulli videatur, civitatem hoc morbo tot jam annos conflictari, cum Æsculapius cæterique dii hominum sese consuetudini

Jesus deorum turbam exterminavit.

ΠΟΡΦΥΡΙΟΥ θεῶν μηκέτ' οὔσης. Ἰησοῦ γὰρ τιμωμένου, οὐδεμιᾶς τις θεῶν
δημοσίας ὠφελείας ᾔσθετο.

11 Ταῦτα ῥήμασιν αὐτοῖς ὁ Πορφύριος. Εἰ δὴ οὖν
κατὰ τήνδε τὴν ὁμολογίαν Ἰησοῦ τιμωμένου οὐδεμιᾶς
τις θεῶν δημοσίας ὠφελείας ᾔσθετο, μηκέτ' οὔσης μήτ'
Ἀσκληπιοῦ ἐπιδημίας μήτε τῶν ἄλλων θεῶν, πόθεν δὴ p. 180
12 λοιπὸν τὸ ὡς περὶ θεῶν καὶ ἡρώων δόγμα; Τί γὰρ οὐχὶ
μᾶλλον τὰ τῶν θεῶν καὶ Ἀσκληπιοῦ κρατεῖ τῆς Ἰησοῦ
δυνάμεως; Εἰ δὴ ὁ μὲν θνητὸς, ὡς ἂν φαῖεν, ἄνθρωπος—
τάχα δ' ἂν εἴποιεν ὅτι καὶ πλάνος—οἱ δὲ σωτῆρες καὶ
θεοὶ, τί δῆτα τοίνυν πάντες ἀθρόως αὐτῷ Ἀσκληπιῷ
πεφεύγασι, τὰ νῶτα τῷ θνητῷ, καὶ πᾶσαν ἑξῆς ὑποχεί-
ριον τὴν ἀνθρωπότητα τῷ μηκέτ' ὄντι, ὡς ἂν εἴποιεν
13 αὐτοὶ, παραδεδωκότες; Ὁ δὲ καὶ μετὰ θάνατον παρὰ b

d 9. γὰρ] Χριστοῦ C.G. Χριστοῦ γὰρ F. 10. τις θεῶν δημοσίας] δημοσίας τις θεῶν A.E. τ. θ. ὠφελείας δημοσίας H. 11. ταῦτα] Ante h. v. inserit C. μὴ οὖν Ἀσκληπίου οὔσης ἐπιδημίας μὴ τ' ἄλ. et F.G. εἰ δὴ] ἤδη A. ult. ἐπιδημίας τε] τε om. A.E.H.

p. 180. 1. τὸ ὡς] τῷ ὡς H. qui infra δόγματι. 2. περὶ αὐτῶν δόγμα] περὶ αὐτῶν om. A.H. περὶ om. C.D.F.G. 3. τὰ Ἀσκληπίου καὶ τῶν θεῶν κρατεῖ τῆς Ἰησοῦ δυν.] τὰ τῶν θεῶν καὶ τὰ Ἀσκ. κρατεῖ πάσης οὐκ οὔσης δυν. A.H. τὰ τῶν θεῶν καὶ Ἀσκ. E. 6. σωτῆρες καὶ θεοὶ] θεοὶ καὶ σωτῆρες H. 7. πῶς οὖν] τί δὴ τὰ τοίνυν A.H. τί δῆτα τοίνυν E.V. 8. πεφεύγασι] προσφεύγουσι E. 9. τὴν ἀνθρωπότητα] τὰ ἀνθρωπότατα F. b. θάνατον] τὸν θ. A.E.H. 2. παρὰ πᾶσι—μετὰ θάνατον om. H.

consortioque subduxerint? Ex quo enim Jesus coli cœptus est, communem ac publicam deorum opem nemo sensit.

11 Hæc ille verbis totidem. Si ergo vel istius confessione, nihil, ex
quo Jesum colere cœperunt, communis ac publicæ deorum opis quis-
quam expertus est, Æsculapio simul ac reliqua numinum turba ex
hominum societate summota: unde tandem vana de illis tanquam de
12 diis aut heroibus subrepsit opinio? Quidni enim potius Æsculapii
cæterorumque vis deorum, Jesu potestatem ac numen evertit? Enim-
vero, si homo ille tantum est, ut ipsi garriunt, morti obnoxius; (im-
postorem forte ac circulatorem etiam addiderint) hi contra servatores
ac dii; qui fieri potuit, uti fugam simul omnes cum Æsculapio ca-
pesserent, mortalique homini, quique nullus, ut blaterant, omnino
jam sit, non terga darent ipsi modo, sed etiam humanum genus
13 quasi vinctum deinceps constrictumque traderent universum? At

πᾶσι τοῖς ἔθνεσιν ὁσημέραι διαιωνίζει τιμώμενος, ἄντικρυς τῆς μετὰ θάνατον ζωῆς τὸ ἐναργὲς καὶ ἔνθεον τοῖς
14 οἵοις τε συνορᾶν ἐπιδεικνύμενος. Ἀλλὰ καὶ εἷς ὤν, καί, ὡς ἄν τις ὑπολάβοι, μόνος, τὸ πλῆθος τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην θεῶν ἐλαύνει, καὶ τάς γε τιμὰς αὐτῶν ἀθετῶν κρατεῖ, ὡς τοὺς μὲν θεοὺς μηκέτ' εἶναι, μηδ' ἐνεργεῖν, μηδέ πη παραφαίνεσθαι, μηδὲ συνήθως ταῖς πόλεσιν ἐπιδημεῖν, ὅτι μὴ θεοὶ δαίμονες δ' ἦσαν πονη- c
ροί· μόνου δὲ αὐτοῦ καὶ τοῦ καταπέμψαντος αὐτὸν Θεοῦ τῶν ὅλων αὔξειν ὁσημέραι τὰς τιμάς, καὶ εἰς μεῖζον
15 ἀρετῆς καθ' ὅλης τῆς ἀνθρωπότητος ἐπιδιδόναι. Δέον ἔμπαλιν τοὺς μὲν θεούς, εἰ δή τινες ὄντως ἦσαν τῶν ἐπὶ γῆς κηδεμόνες, τοῦ μὲν ἄρδην μεταστήσασθαι τὴν πλάνην, εἰ ἄρα τις ἦν, αὐτοὺς δὲ τὰς ἐξ αὐτῶν θεραπείας τε καὶ ὠφελείας ἀφθόνως τοῖς πᾶσιν ἐμπαρέχειν.

b 6. ὑπολάβοι] ὑπολάβη C. 8. αὐτῶν ἀθετῶν] αὐτῶν καὶ C.F.G. 10. ποι] πη C.D.F.G. 11. μὴ] μὴ δὲ A.H. c. δ' ἦσαν] δ' om. F. 3. μεῖζον ἀρεταῖς] μείζονα ἀρετῆς A.H. Hoc item B.D.F.G. 5. ὄντως] ὄντες B.C.F. 6. τῶν ἐπὶ] τοῖς ἐπὶ H. 8. τε καὶ] τε om. B.C.F.G. 9. ἐμπαρέχειν] παρέχειν B.C.D.F.G.

vero Jesus ille noster, hoc ipso sane, quod etiam post obitum inter omnes populos nominis sui cultum quotidie propagare pergit, clarissimum vereque divinum iis, qui modo intueri possunt, vitæ post mor-
14 tem suæ objicit argumentum. Ille igitur, unus ipse cum sit, atque ut suspicari quis forte queat, plane solus, immensam illam tot deorum toto quondam orbe dominantium multitudinem exterminat, eaque potestate ipsorum honorem et cultum contemptui ludibrioque subjicit, ut nec ulli amplius dii sint, nec virium quicquam habeant, nec uspiam vel leviter appareant, nec in civitatum conventus, ut olim, sese amplius inferant, utpote qui non dii, sed mali dæmones essent: contra vero Christi unius duntaxat, ejusque a quo missus est Dei rerum omnium præpotentis veneratio magis in dies ac magis augeatur, novaque cum accessione dignitatis, radices in populorum om-
